μόνος πρὸς μόνον διαγωνίζεται καὶ καταβάλλει τὸν Αἷμον ἐπὶ τὸν ἐπώνυμον αὐτοῦ λόφον. 18 (16). *Ὁ μὲν οὖν Βύζας μετὰ τὴν εἰρημένην νίκην ὡς ἐπὶ τὴν Θρᾴκην ἤλαυνε τοὺς πολεμίους, Ὀδρύσης ὁ τῶν Σκυθῶν βασιλεὺς περαιωθεὶς τὸν Ἴστρον καὶ πρὸς αὐτὰ διελθὼν τὰ τῆς πόλεως τείχη ἐπολιόρκει τοὺς ἔνδον. Πρὸς ὃν ἡ τοῦ Βύζαντος γυνή, ἡ θαυμαστὴ Φιδάλεια, μηδέν τι καταπλαγεῖσα τὸ πλῆθος τῶν πολεμίων, ἀλλὰ τῇ γυναικείᾳ χρησαμένη χειρὶ διηγωνίσατο σοφισαμένη τὸν βάρβαρον τῇ τῶν δρακόντων συμμαχίᾳ.* 19 (17). *Ὡς γὰρ τοὺς κατὰ τὴν πόλιν ὄφεις εἰς ἕν τι χωρίον συλλαβοῦσα ἐφρούρει, ἀθρόως τοῖς ἐναν-*

§ 19. Cf. Tzetz. chil. II 60 v. 933 sqq. *Ποτὲ γὰρ ἔθνος βάρβαρον ἐλαύνει Βυζαντίοις, | ἀποδημοῦντος ἄνακτος τότε τοῦ Βυζαντίων, | οἱ βάρβαροι τῇ πόλει δὲ προσέβαλον ἀθρόως. | Ἡ τοῦ κρατοῦντος δὲ γυνὴ τῶν ἐχεφρόνων οὖσα, | ἐν ὀστρακίνοις σκεύεσιν ὄφεάς πως βαλοῦσα, | πᾶσι πολίταις δέδωκε τοῖς ἑαυτῆς πατρίδος | ἀπὸ τοῦ τείχους σφενδονᾶν πρὸς στρατιὰν βαρβάρων κτλ.*

---

2 Post *λόφον* inserit Ang haec: *Οὗτος οὖν ὁ Αἷμος πολεμήσειν μέλλων τὸν Βύζαντα χρησμοὺς ᾐτεῖτο παρ' Ἀπόλλωνος καὶ τοιούτους ἐλάμβανεν·*

Οὔ σέ γε Φοῖβος ἄνωγεν ἀμείνονι φωτὶ μάχεσθαι,
κείνου γὰρ θεὸς αὐτὸς ἑὴν ὑπερέσχεθε χεῖρα,
ὃν πᾶσα γῆ τρομέει καὶ οὐρανὸς εὐρὺς ὕπερθεν.

Καὶ ταῦτα μὲν τῷ Αἵμῳ ὁ χρησμὸς προηγόρευσεν· ἐγὼ δὲ τὴν ἄνωθεν περὶ τὸ Βυζάντιον τοῦ θεοῦ θαυμάζω πρόνοιαν, ὅπως ἀεὶ σύνηθες τῷ φιλανθρώπῳ θεῷ, διὰ τὴν πρόγνωσιν ἣν ἔχει προλαμβάνειν ἀεὶ ταῖς εὐεργεσίαις τοὺς περὶ αὐτὸν εὐσεβεῖν μέλλοντας, ὡς καὶ τοὺς χρησμοὺς εἰ καὶ ἐκ τῶν ἐναντίων, ἀλλ' ὅμως τῷ Βυζαντίῳ λυσιτελήσειν μέλλοντας ἀναδίδοσθαι. Quae ab Hesychio certe aliena sunt   4 *πολέμους* P (*τοὺς πολ.* secl. Heyne)   *Ὀδρύσης*] *ὁ δὲ δρύσης* Ang, *δρύσος δὲ* A_1, *δρύσης* G (qui pergit: *ὁ μετὰ τὸν αἵμωνα τῶν θρακῶν βασιλεύς*), *κρύσης δὲ* A_2B   5 *πρὸς αὐτὸν* AB   6 *ἐπολιόρκει τὰ τῆς πόλεως τείχη* AB   7 *ἡ* om. Ang   *φιδαλία* Ang   *καταπλαγ.*] *καταλογισαμένη* AB (*εἰς οὐδὲν λυγισάμενος* (sic) *τὸ πολυπληθὲς τῶν βαρβάρων* G)   10 *ὡς*] *οὓς* edd. Codini nescio unde   *τοὺς* om. Ang A_2BG   *τὴν* om. P

τίοις ἐπιφανεῖσα δίκην βελῶν ἢ ἀκοντίων ἔπεμπε τὰ θηρία καὶ πλείστους λυμηναμένη τούτῳ τῷ τρόπῳ διέσωσε τὴν πόλιν. Ἐντεῦθεν τοίνυν ἀρχαῖος μῦθος φέρεται μὴ δεῖν τοὺς κατὰ τὴν πόλιν ἁλισκομένους ἀπολλύειν ὄφεις, οἷα εὐεργέτας αὐτοὺς γενομένους. **20** (18). Οὐ μετὰ πολὺν δὲ χρόνον Στρόμβος ἀνὴρ τοὔνομα καὶ αὐτὸς ἐκ Κεροέσσης τεχθεὶς πόλεμον ἐπιφέρει τῷ Βύζαντι πολλὴν ἐπαγόμενος δύναμιν. Ἀνεκινεῖτο τοίνυν ἅπαντα τὰ Σκυθικὰ γένη, συνέτρεχον δὲ καὶ οἱ τῆς Ἑλλάδος κρατοῦντες καὶ Ῥοδίων οὐκ εὐκαταφρόνητος δύναμις ὅ τε τῆς γείτονος Χαλκηδόνος τοπάρχης Δίνεως, ἐκ Μεγαρέων ἄποικος ἐκεῖσε γενόμενος δέκα καὶ ἐννέα ἔμπροσθεν ἔτεσιν τῆς Βύζαντος αὐταρχίας. (**21** (19). Χαλκηδὼν δὲ ὠνόμασται τὸ χωρίον, ὡς μέν τινές φασιν, ἀπὸ τοῦ Χαλκηδόνος ποταμοῦ, ὡς δὲ ἕτεροι, ἀπὸ τοῦ παιδὸς Κάλχαντος τοῦ μάντεως ὕστερον τοῦ Τρωικοῦ πολέμου γενομένου, ὡς δὲ ἄλλοι, ἀπὸ Χαλκίδος πόλεως τῆς Εὐβοίας ἀποίκων ἐκεῖ πεμφθέντων· οὓς δὴ καὶ τυφλοὺς ἀπεκάλεσαν παρεωρακότας τὸ Βυζάντιον.) **22** (20). Ὡς οὖν σὺν πλείοσι ναυσὶν ὁ Δίνεως εἰς συμμαχίαν ἧκεν τοῦ

§ 20 l. 11 sqq. *Δινίας* dux Megarensium nominatur in Narratione de depositione vestis S. Mariae in Blachernis (ed. Combefis Hist. Haeres. Monothel. col. 755 D)   § 21 l. 17. Caeci coloni nominantur ab Herodoto 4, 144, Tacito Ann. 12, 63, Strabone p. 320, Plinio N. H. V 149 aliis

1 ἢ] *καὶ* G   3 *μῦθος φέρ.*] *νόμος ἐτέθη καὶ φέρεται μέχρι τοῦ νῦν* G   4 *κατὰ τήνδε τὴν* Ang G   *ἀπολύειν* P, *ἀπολεῖν* AB   *ὡς οἷα* P (*οἷα — γεν.* om. G)   5 *αὐτοὺς*] *αὐτῆς* AB (et Meurs.), *αὐτῇ* Ang   *δὲ* om. Ang AB (*μετὰ δέ γε πολὺν χρόνον* G)   10 *καλχηδόνος* A   11 hic et infra *διναῖος* Ang, *δηναιῶς* vel *δείνεως* A, *διναιὸς* B, *δείνεω* G   *ἐκ μεγάρων* BG   12 *αὐταρχίας*] *ἐπαρχίας* „alii" teste Bekkero   13 *καλχηδὼν* G, *καλχηδόνα δὲ* (*τε* A_1) *ὠνόμασε* AB   14 *καλχηδόνος* K   16 *γενομένου πολέμου* Ang   *ὡς δὲ ἄλλοι*] *ἄλλοι δὲ* Ang B   *Χαλκίδος*] *καλχηδόνος* K   17 *Εὐβοίας*] *ἀβίας* AB   18 *ἐκάλεσαν* K   19 *οὖν σὺν*] *δὲ* Ang AB   *πλείοσι*] *ειοσ* in rasura P   *ὢν* post *Δίνεως* inserit P

Βύζαντος, μὴ δυνηθεὶς προσορμῆσαι τῇ πόλει ἄρτι τοῦ βασιλέως αὐτῶν Βύζαντος μεταλλάξαντος καὶ τοῦ δήμου παντὸς ἐν ἀγωνίᾳ τυγχάνοντος πρὸς τὸν καλούμενον Ἀνάπλουν ἀφίκετο, ἔνθα καὶ διατρίψας Ἑστίας τὸν τόπον ὠνόμασεν. **23** (21). Μικρῷ γε μὴν ὕστερον διαβὰς ἐν τῇ πόλει καὶ τοὺς βαρβάρους ἀπωσάμενος δεύτερος αὐτὸς ἐστρατήγησε τοῦ δήμου τῶν Βυζαντίων. Καθ᾽ οὓς δὴ χρόνους καὶ δρακόντων πλεῖστα γένη ἐπεφοίτησεν τῇ πόλει, ὡς τοὺς οἰκοῦντας αὐτὴν διαφθείρεσθαι· οὓς δὴ τῇ τῶν καλουμένων πελαργῶν ὀρνίθων ἐπιφορᾷ διεχρήσαντο Ποσειδῶνος αὐτοῖς ὥς φασι συνεργήσαντος. **24** (22). Οὐ μετὰ πολὺ δὲ καὶ τῶν ὀρνίθων αὐτοῖς ἐναντία φρονούντων καὶ θανάτων αἰτίαν ἐπαγόντων τούς τε ἁλισκομένους αὐτοῖς ὄφεις πρὸς τὰς τῶν ὑδάτων δεξαμενὰς ἀκοντιζόντων καὶ τοῖς γε πολίταις ἐν ταῖς λεωφόροις ἀφανῶς ἐπιβαλλόντων ἐν ἀφασίᾳ διετέλουν.

§ 24 sqq Fragmentum de VII turribus et de Apollonio Tyaneo (v. ad § 13): Ὅτι ἐνοχλουμένων ὕστερον τῶν Βυζαντίων (Καὶ ὕστερον ἐνοχλουμένου τοῦ Βυζαντίου Vat.) ὑπὸ τῶν ὄφεων διαφθειρόντων αὐτοὺς (αὐτὰ Vat.) τὰ ὕδατα ὁ Τυανεὺς Ἀπολλώνιος ἀπὸ λίθου ξεστοῦ τρεῖς ἀνέστησε πελαργούς, οἵτινες οὐκ ἐῶσιν (εἴων Vat.) ἐπιφοιτῆσαι τῇ πόλει πελαργοὺς (τοὺς ὄφεις Vat. qui his verbis finem facit). Ἐκεῖνοι γὰρ πνίγοντες τοὺς ὄφεις πρώην ἠκόντιζον νεκροὺς κατὰ τῶν δεξαμενῶν. Tzetzes chil. II 60 v. 929: Καὶ πελαργοὺς ἐγγλύψας δὲ πώποτε μαρμαρίνους | ἐκ Βυζαντίου πελαργοὺς ἐξήλασε μακρόθεν | ὄφεις νεκροὺς δεξαμεναῖς ῥιπτοῦντας Βυζαντίων | καὶ τῷ φαρμάκῳ κτείνοντας τοὺς πίνοντας ἀθρόως. Cf. etiam v. 946 sqq. Eandem historiam alii quoque scriptores tradunt

1 μὴ δυνηθεὶς — 2 Βύζ. om. Ang (homoiotel.) προσορμίσαι K 4 ἔνθεν P 6 δεύτερος om. P, δεύτερον AB (δεύτερος οὗτος βασιλεὺς τῶν βυζαντίων ὑπῆρξε G) 9 αὐτὴν] αὐτῇ AB 10 ὀρνίθων om. Ang K διεχειρίσαντο AB (οὓς ὁ Ποσ. δι᾽ ἐπιφορᾶς πελαργῶν ἐξηφάνισε G) 11 συνεργ. ὡς φασίν Ang οὐ secludit Orelli ne temporum ratio turbetur 12 θανάτου αἰτίαν Ang G, θάνατον ἔτι (sic) AB 13 αὐτοῖς om. Ang AB (παρ᾽ αὐτῶν G) 15 ἐπιβαλλ.] ἐφαλλομένων K

25 (23). Ἀνὴρ δέ τις τῶν ἐκ Τυάνων, τοὔνομα Ἀπολλώνιος, ἐκ λίθου ξεστοῦ τρεῖς ἀνεστήσατο πελαργοὺς ἀντιπροσώπως ἀλλήλοις ὁρῶντας, οἳ καὶ μέχρι τῶνδε διαμένουσι τῶν χρόνων οὐ συγχωροῦντες ἐπιφοιτῆσαι τῇ πόλει τὸ τῶν πελαργῶν γένος. **26** (24). Ἐπὶ δὲ τοῖς εἰρημένοις Δίνεω τοῦ στρατηγοῦ μεταλλάξαντος Λέων τὴν τῶν Βυζαντίων ἀριστοκρατίαν ἐδέξατο· ἐφ' οὗπερ Φίλιππος ὁ τῶν Μακεδόνων βασιλεύς, ὁ Ἀμύντου παῖς γεγονώς, πολλὴν ἐπαγόμενος δύναμιν ἐπολιόρκει τὴν πόλιν διώρυξί τε καὶ παντοίοις πολεμικοῖς μηχανήμασι τοῖς τείχεσι προσπελάζων. **27** (25). Καὶ δὴ ἂν ταύτην ἐξεῖλε ῥᾳδίως νυκτὸς ἐπιλαβόμενος ἀσελήνου καὶ ὄμβρου καταρραγέντος ἐξαισίου, εἰ μή τις αὐτοῖς τοῦ θείου γέγονε συμμαχία τοὺς κατὰ τὴν πόλιν κύνας πρὸς ὑλακὴν ἀναστήσαντος καὶ νεφέλας πυρὸς τοῖς ἀρκτῴοις ἐπαγαγόντος μέρεσιν. Ἐξ οὗπερ οἱ δῆμοι διεγερθέντες καὶ θερμῶς τοῖς πολεμίοις συνενεχθέντες ἤδη τὴν πόλιν ὑπὸ τῷ Φιλίππῳ γενομένην ἐρρύσαντο ἀναλαβόντες τοὺς διαφθαρέντας πύργους τοῖς ἐκ τῶν τάφων παρακειμένοις λίθοις καὶ ἀνυφάναντες τὰς ἐπάλξεις τοῦ τείχους· οὗ δὴ χάριν Τυμβοσύνην τὸ τεῖχος ἐκάλεσαν λαμπαδηφόρον Ἑκάτης ἀναστήσαντες ἄγαλμα. Αὖθίς τε πρὸς

L. 21. Cf. Steph. Byz. s. v. *Βόσπορος* . . . *ἡ Ἑκάτη φωσφόρος οὖσα δᾷδας ἐποίησε νύκτωρ τοῖς πολίταις φανῆναι*

---

2 *ἀντιπροσώπους* A_1 (fort. recte), *ἔν τε προσώποις* B, *ἄντε προσώποις* A_2, *ἀντιπρόσωπον* G 3 *ἀλλήλους* Ang AB *ὁρῶντες* Ang 4 *τῇ πόλει* om. Ang AG 6 *λέων τις τῶν Βυζ. τὴν ἀριστ.* AB 7 *ἀριστοκρ.*] *ἀρχὴν* G 8 *ὁ* ante *Ἀμύντου* om. Ang AB 9 *παντοίοις* om. Ang K 10 *πολεμικαῖς μηχαναῖς* Ang K 11 *ῥᾳδίως* om. P, *ἀνεῖλε* vel *καθεῖλε ῥαδίως* K 14 *κύνας* hic om. Ang K *ἀναστήσαντα κύνας* Ang, *ἀναστήσαντος κύνας* K *νεφέλας πρὸς τοὺς ἀρκτῴους ἀγαγόντος τόπους* A 15 *μέρεσιν*] *τόποις* Ang BG 16 *ἐπεγερθέντες* K 17 *ὑπὸ τὸν φίλιππον* AB *ἐρύσαντο* P 19 *ἀνυφάναντες*] *ἀνοικοδομήσαντες* AB (*διὰ νυκτὸς ἀνακτίσαντες* G) 20 *τὸ τεῖχος τυμβοσύνην* Ang K, *Τυμβοσίνην* Heyne 21 *αὖθις δὲ* K

ναυμαχίας τραπέντες περιφανῶς τοὺς Μακεδόνας ἐνίκησαν. Καὶ τούτῳ τῷ τρόπῳ διαλυθέντος τοῦ πολέμου Φίλιππος παραχωρεῖ Βυζαντίοις.

28 (26). *Ἐπειδὴ δὲ καὶ Λέων τὸν βίον μετήλλαξεν, Χάρης ὁ τῶν Ἀθηναίων στρατηγὸς σὺν ναυσὶ τεσσαράκοντα εἰς συμμαχίαν τῶν Βυζαντίων ἐλθὼν πρὸς τὸν κατὰ Φιλίππου πόλεμον κατέλαβε τὴν ἄκραν τῆς Προποντίδος, ἥτις μεταξὺ κεῖται Χρυσοπόλεως καὶ Χαλκηδόνος, καὶ ἐν ἐκείνῳ προσορμήσας τῷ τόπῳ ἀπόπειραν ἐλάμβανε τοῦ πολέμου.* 29 (27). *Ἔνθα δὴ τὴν ἑπομένην αὐτῷ γυναῖκα νόσῳ βληθεῖσαν ἀποβαλὼν κατέθηκεν ἐν τάφῳ ἀναστήσας αὐτῇ βωμὸν καὶ κίονα σύνθετον, ἐν ᾧ δάμαλις δείκνυται ἐκ ξεστοῦ συγκειμένη λίθου. Οὕτω γὰρ μᾶλλον ἐκείνη τὴν ἐπωνυμίαν ἐκέκλητο, ἥτις διὰ τῶν ἐγγεγραμμένων στίχων μέχρι τῶν καθ' ἡμᾶς διασώζεται χρόνων.* 30 (28). *Εἰσὶ δὲ οἱ στίχοι οὗτοι·*

Ἰναχίης οὐκ εἰμὶ βοὸς τύπος οὐδ' ἀπ' ἐμεῖο
κλῄζεται ἀντωπὸν Βοσπόριον πέλαγος.
Κείνην γὰρ τὸ πάροιθε βαρὺς χόλος ἤλασεν Ἥρης
ἐς Φάρον· ἥδε δ' ἐγὼ Κεκροπίς εἰμι νέκυς.

§ 30. Epigramma exstat ap. Dion. Byz. p. 36 W, Anth. Pal. (et Plan.) VII 169, Constantin. Porph. de them. II 12, Ps.-Symeon Logoth. p. 729 Combefis (in Scriptor. post Theophanem). Cf. Inscriptiones Graecae metricae ed. Preger n. 190.

1 *ναυμαχίαν* G, *συμμαχίαν* AB 4 *ἐπειδὴ δὲ*] *ει* et *ή* in rasura P, *ἐπεὶ δὲ* K 5 *Χάρης*] *ησ* in rasura P *στρατηγὸς*] *βασιλεὺς* A 9 *προσορμίσαντες* et *ἐλάμβανον* A 10 *ἔνθεν* P 12 *σύνθετον* om. AB, *συνθεὶς* Ang G 13 *λίθου ἀνακειμένη* P, *συγκειμένη λίθου* Ang BG (*ἐξῆστον κειμένου λίθου* A) 13 *μᾶλλον* om K 14 *ἥτις*] *ὅπερ καὶ* Ang K *διὰ τῶν ἐγγεγρ. ἐκεῖσε στίχων ἀριδήλως ἐμφαίνεται* (huiusque etiam G) *μέχρι τῶν καθ' ἡμᾶς διασωζομένων* (sic) *χρόνων* B 15 *διασώζεται*] *αι* in ras. P 16 *οἱ στίχοι* om. Ang 17 sqq. In A verba epigrammatis misere corrupta sunt (e. gr. 17 *καρχείης οὐκ εἰμί*, 20 *ἐπαφοναδε δεγὼ κριπίς*) 20 *ἐσ πάφον* PG, *ἐσ πάρον* Ang *ἄδε δ'* AG, *ἃ δὲ* Ang *κέκρυπος* G

Εὐνέτις ἦν δὲ Χάρητος· ἔπλων δ' ὅτε πλῶεν ἐκεῖνος
τῇδε Φιλιππείων ἀντίπαλος σκαφέων·
Βοίδιον οὔνομα δ' ἦεν ἐμοὶ τότε· νῦν δὲ Χάρητος
εὐνέτις ἠπείροις τέρπομαι ἀμφοτέραις.

31 (29). *Τοῦ δὲ Χάρητος εἰς Ἀθήνας ἐκπλεύσαντος Πρωτόμαχος τὴν στρατηγικὴν ἀρχὴν διαδέχεται, ὃς τοὺς ἐπαναστάντας Θρᾷκας καταδουλώσας τοῖς ὅπλοις ἐν τῷ καλουμένῳ τῆς πόλεως Μιλίῳ χάλκεα ἀνέθηκε τρόπαια.* **32** (30). *Κατοιχομένου δὲ καὶ τούτου Τιμήσιος ἀνὴρ τῶν ἐν Ἀργείοις τραφέντων πρῶτον μὲν κατὰ τὸν Εὔξεινον προςαγορευόμενον Πόντον πρὸς τῷ λεγομένῳ Ἐφεσιάτῃ (ἔνθα ποτὲ Ἐφέσιοι ἀποικίας πέμψαντες καὶ πόλιν οἰκοδομεῖν πειραθέντες αὖθις τοῦ Βυζαντίου ὑπήκουσαν λογίου·*

ἔνθα δύο σκύλακες διερὴν μάρπτουσι θάλασσαν,
ἔνθ' ἰχθὺς ἔλαφός τε νομὸν βόσκονται ἐς αὐτόν)

ἀντικαταστῆσαι πόλιν ἐπιχειρήσας καὶ διαμαρτὼν τῆς ἐλπίδος συνοικίζεται Βυζαντίοις· καὶ στρατηγὸς τοῦ παντὸς ἀναδειχθεὶς δήμου πᾶσαν ὁμοῦ τὴν πόλιν εἰς τὸ μεῖζον καὶ

1 *ἦν*| nota marginalis in P: *ἀντὶ τοῦ ἤμην ἀττικῶς* *ὅτ' ἔπλωεν* B 3 *βοίδιον* B *οὔνομα — τότε*| *δ' ἤκουον ἐγὼ τότε* B, *δὲ καλεῦμ' ἂν ἐγώ ποτε* Ang G, *δὲ καλεόμην ἐγώ τε τότε* A *ἦεν*| *ν* in rasura P *χάρητ'* Ang 6 *στρατιωτικὴν* A 7 *καταδουλωσάμενος* BG 10 *γραφέντων* P (*ἀπὸ τῶν ἀργείων* G, nil ultra) *πρῶτα* Ang A *προςαγορ.* om. BG, *πόντον προςαγορ.* Ang A 11 *πρὸς τὸν λεγόμενον* (*καλούμενον τόπον* BG) *ἐφεσάτην* (*ἐφασάτην* A_2G, *ἐφισάτην* A_1) K *ἐφεσάτῃ* Ang; cf. Dion. Byz. 100: Ephesiorum portus 12 *ἀποικίαν* AG *πειρασθέντες* Ang post *αὖθις* inserit B: *μετὰ τοῦ τοιούτου Τιμησίου* 13 *βυζαντίων* Ang *ἐπήκουσαν* Ang B, *ἐπήκουσεν* A, *ἤκουσαν* G *λογίου*| *χρηστηρίου* B 14 quattuor oraculi versus sine codicum auctoritate exhibent Codini edd. *διερὴν*| Ang K, *πολιὴν* P 15 versum om. BG *ἔνθα* Ang A *ἰχθὺς* P, *ἰχθύς τ'* Meursius *νομὴν* A_1 *βόσκονται τὸν αὐτόν* Ang A 17 *καὶ στρατηγὸς δὲ* AB, *καὶ στρατηγός τε* Ang 18 *ἀποδειχθεὶς* Ang, *ἀποδεχθεὶς* G *εἰς τὸ μεῖζον ὠφέλιμον* A, *εἰς τὸ μεῖζον καὶ περιφανέστερον* BG

ὠφέλιμον μετερρύθμισεν, νόμους τε περὶ τῶν καθ' ἡμέραν συμβόλαιά τε τιθέμενος καὶ ἔθη καθιστὰς πολιτικά τε καὶ ἥμερα, δι' ὧν ἀστείους τε καὶ φιλανθρώπους τοὺς πολίτας ἀπέδειξεν· **33** (31). ἱερά τε θεῶν πλεῖστα τὰ μὲν αὐτὸς ἀνεστήσατο, τὰ δὲ καὶ πρὶν ὄντα ἐπεκόσμησεν· τὸν γὰρ πρὸς τῇ ἄκρᾳ τῆς Ποντικῆς θαλάσσης κείμενον ναόν, ὃν Ἰάσων ποτὲ τοῖς δώδεκα θεοῖς καθιέρωσε, κατηρειπωμένον ἀνήγειρε καὶ τὸν ἐπὶ τῷ Φρίξου λεγομένῳ λιμένι τῆς Ἀρτέμιδος οἶκον ἀνεκαίνισεν. **34** (32). Ἐπὶ δὲ τούτῳ Καλλιάδης στρατηγῶν τοῦ Βυζαντίου ἄριστά τε πρὸς τοὺς ὀθνείους τε καὶ ἐμφυλίους πολεμίους ἀγωνισάμενος τὸ περιβόητον τοῦ Βύζαντος ἄγαλμα κατὰ τὴν καλουμένην Βασιλικὴν ἀνέθηκε καὶ ἐπέγραψεν οὕτως·

Τὸν κρατερὸν Βύζαντα καὶ ἱμερτὴν Φιδάλειαν
εἰν ἑνὶ κοσμήσας ἄνθετο Καλλιάδης.

---

§ 34. Epigramma ex Hesychio sumpsit Anth. Plan. 66 Jac: *Καλλιάδης στρατηγὸς Βυζαντίου τὸ περιβόητον τοῦ Βύζαντος ἄγαλμα κατὰ τὴν καλουμένην Βασιλικὴν ἀνέθηκεν ἐπιγράψας οὕτως· Τὸν κτλ.* Cf. Inscr. gr. metr. ed. Preger n. 165.

---

1 *μετερύθμισεν* P 1 sq. *νόμους καθημέραν συντιθέμενος συμβόλαιά τε καὶ ἔθη καθιστῶν* BG, *νόμους τε περιόντας καθημέραν συντιθέμενος συμβασιλεῦσι* (*συμβασιλέων* A_2) *καὶ ἔθιμα καθιστάμενος* A, *νόμους περιὼν καθημέραν συμβολαίων τιθέμενος καὶ ἔθη καθιστάμενος* Ang 2 *συμβολαίων* (om. *τε*) P Ang; corr. ex BG 2 sq. *πολιτικὰ καὶ ἥμερα* Ang A (*τε καὶ ἥμερα* om. BG) 4 *ἀνέδειξε* Ang AB 5 *διεκόσμει* Ang, *διεκόσμησε* AB (*διακοσμῶν* G) 6 *προποντικῆς* A, *προποντίδος* BG 7 *δεκαδύο* Ang *καθίδρυσε* A (*ὃν — καθιέρωσε* om. BG); de hoc templo cf. Ath. Mitteil. 1897 p. 188 et Monatsber. der Berl. Akademie 1877 p. 475 *κατερειπωμένον* P, *καὶ κατηρειπωμένον* A 8 *ἐπὶ τοῦ φρίξου* Ang, *ἐπὶ τῷ φρίξῳ* BG; de hoc portu cf. Dion. Byz. 99, Steph. Byz. s. v. *Φρίξος* 11 *πολέμους* P Ang K 14 *κραταιὸν* K *φιδαλίαν* Ang 15 *εἰν ἑνὶ κοσμ. ἄνθ.*] *ἐν ἑνὶ κοσμ. ἄνθ.* Ang, *ἣν ὡς οἰκὸς ἀνέθετο* A_1, *ἣν ἐνενὶ ἀνέθετο* A_2, *ἐνθάδε ἔστησε* BG, *κίονι κοσμ. ἄνθ.* Dousa; ad *εἰν ἑνὶ* cf. Kaibel Epigr. gr. 879 et Anth. Pal. V 292, 12

35 (33). Ἀλλὰ ταῦτα μὲν καὶ ἀριστοκρατουμένων καὶ δημοκρατουμένων τῶν Βυζαντίων, ἔτι δὲ καὶ τυραννουμένων κατὰ διαφόρους συμβέβηκε χρόνους. Ὡς δὲ τῇ τῶν ὑπάτων ἐπικρατείᾳ ἡ Ῥωμαίων ἀρχὴ πάσας ὑπερεβάλετο τὰς δυναστείας, κατεδούλωσε δὲ καὶ τὰ τῶν Ἑλλήνων ἔθνη, εἰκότως αὐτῇ καὶ Βυζάντιοι πειθόμενοι διετέλουν. **36** (34). Ἐπειδὴ δὲ μετά τινας χρόνους Σεβήρου βασιλεύσαντος τῆς Ῥώμης αὐτοὶ τὴν τοῦ τυραννήσαντος τῶν ἑῴων Νίγρου προτιμήσαντες ἐλπίδα εἰς χεῖρας ἐλθεῖν ἐτόλμησαν πρὸς τὸν αὐτοκράτορα, ἀφαιρεθέντες παρ᾽ αὐτοῦ τῶν πολιτικῶν δικαίων καὶ τῆς στεφάνης αὐτοῖς καταλυθείσης τοῦ τείχους Περινθίοις προσετάχθησαν δουλεύειν τοῖς καλουμένοις Ἡρακλεώταις. **37** (35). Παυσαμένου δὲ τῆς ὀργῆς τοῦ Σεβήρου αὖθις εἰς μείζονα κόσμον ἐπανῆλθον λουτρὸν μὲν αὐτοῖς μέγιστον κατὰ τὸν τοῦ Διὸς Ἱππίου βωμόν, ἤτοι τὸ Ἡρακλέους ἄλσος καλούμενον (ἔνθα τὰς Διομήδους αὐτόν φασι δαμάσαντα

§ 35 sqq. Hesychium legisse videtur Ignatius Selymbrianus Vita Constantini (ed. Joannu in Μνημεῖα ἁγιολογικά) p. 195 sqq. § 36 v. Commentar. in canon. 3 synodi 2 Cpolit. (Rhallis et Potlis II 173): . καὶ καθῃρέθη μὲν τὰ τείχη αὐτοῦ, ἀφῃρέθη δὲ καὶ τὰ πολιτικὰ δίκαια καὶ ὑπετέθη Πειρινθίοις. § 37. Lyd. de mens. p. 7 Wuensch: Σεβῆρος . . κτίζει μὲν ἐκεῖσε διὰ τὸ τῆς πόλεως ἐπιτερπὲς λουτρὸν παμμεγεθές· εὑρὼν δὲ καὶ τὸν παρακείμενον τόπον τοῖς Διοςκόροις ἀνακεί-

1 sq. καὶ δημοκρατουμένων om. Ang K 4 ἐπιστρατείᾳ P, ἐπιστατείᾳ Bekker ἡ τιμουμένη ἀρχὴ vel sim. K ὑπερεβάλλετο Ang, ὑπερέβαλλε K 5 τε καὶ G 6 οἱ Βυζάντιοι edd. 7 βασιλεύοντος K 8 νίγερος προτιμήσαντος Ang (locus misere corr. in K) 10 παρ᾽ αὐτοῦ om. Ang K 11 πειρινθίοις B (πινθορίοις A) 13 παυσαμένης B post αὖθις inserunt BG: τοῦτον ἔσχον εἰς βασιλέα, ὃς καὶ εἰς μείζονα καὶ περιφανῆ κόσμον ἐπανήγαγε τὸ βυζάντιον· λουτρὸν κτλ. 14 ἐπανῆλθε A 15 ἤτοι] ἢ P Ang, corr. ex K ἄλλες P, c eadem, ut videtur, manus suprascripsit, ἄλλον A 15 sq. καλούμενον ἄλσος Ang K 16 sq. δαμάσαντες et ὠνόμασαν BG

ἵππους Ζεύξιππον τὸν τόπον ὀνομάσαι), πολυτελῶς ἐγείραντος καὶ τὸν τούτῳ πλησιάζοντα χῶρον τῆς ἱπποδρομίας τοῖς τοῦ Διὸς ἀνακειμένον κούροις ἰκρίοις τε καὶ στοαῖς διακοσμήσαντος (ἔνθα καὶ νῦν οἱ καμπτῆρες δηλοῦσι τὰ τῶν ἐφόρων γνωρίσματα διὰ τῶν ἐπικειμένων ᾠῶν τοῖς χαλκοῖς ὀβελίσκοις), ἐπὶ δὲ τούτοις καὶ στρατιωτικὰ τέλη προςνείμαντος. **38** (36). Μέχρι μὲν οὖν περιῆν Σεβῆρος καὶ ὁ τούτου παῖς Ἀντωνῖνος, ἡ πόλις Ἀντωνίνα προςηγορεύετο· ἐπειδὴ δὲ † τοῖς θείοις τῶν βασιλέων ἀπεδόθη, αὖθις τὸ Βυζάντιον ὠνομάζετο. **39.** Κωνσταντίνου δὲ τὸ Ῥωμαϊκὸν κῦρος παρειληφότος καὶ αὐτὴ Κωνσταντινούπολις ἐκλήθη, προθύμως ἀνασχομένη τὴν προςηγορίαν ἀνταλλάξαι τῇ ὑπερβαλλούσῃ τοῦ αὐτοκράτορος φιλοτιμίᾳ, θαυμαστὴν μὲν αὐτὴν ἀπεργασαμένου τῷ κάλλει, πόρρω δὲ μεταγαγόντος τὰ τείχη κατὰ τοὺς λεγομένους Τρωαδησίους ἐμβόλους. πρότερον αὐτῶν

μενον ἐποίησε τοῦτον ἱπποδρόμιον, ἰκρίοις καὶ στοαῖς διακοσμήσας αὐτόν, καὶ ἄλσος ἐκκόψας κτλ. § 38. Eustath. ad Dionys. 803 (p. 357, 18 Mueller in Geogr. Gr.): Ὀνομασθῆναι δέ ποτε αὐτὸ καὶ Ἀντωνίαν (sic codd. nisi quod unus habet ἀντωνιμίαν), ἕως περιῆν Σεβῆρος καὶ ὁ ἐκείνου παῖς Ἀντωνῖνος. — Huc usque (— προςηγορεύετο) Hesychium ad verbum descripsit Codinus, qui fertur; reliqua, quae tradit Hesychius, Codinus in posteriore parte libri § 43—46 et § 57 (p. 15 sqq. Bekker) recoquit. Vide alterum fasciculum.

---

1 ἀνήγειρεν BG 2 τούτῳ] αὐτῷ Ang BG (αὐτῶν A) 3 διεκόσμησαν A, διεκόσμησεν μετὰ νίγερ BG 4 καμπτοὶ B; ad rem cf. Svoronos Ἐφημερὶς ἀρχαιολ. 1889 p. 92 ἐφόδων A_1, ἐφοδῶν A_2, ἐφόρων ⟨θεῶν⟩ Menrad 6 ἐπὶ — προςνείμαντος om. BG 7 μέχρι μὲν οὐ Ang Σεβῆρος ἀπὸ τούτου παιδὸς Ἀντωνίνου ἡ πόλις κτλ. Codini edd. ex coniectura 8 ἀντωνία P, ἀντωνίνα K, ἀντωνίνου Ang, Ἀντωνινία edd., sed cf. *colonia Agrippina* et similia προςηγ.] κατωνομάζετο B, ἀντωνομάζετο G ἐπειδὴ — 13 φιλοτιμίᾳ om. K 9 ἀπεδόθησαν Lamb. („cum in numerum divorum imperatorum relati essent") 14 πόρρωθεν Ang K

οὐκ ἔξω τῆς ἐπωνύμου ἀγορᾶς τοῦ βασιλέως κειμένων, λουτροῖς τε καὶ ἱεροῖς οἴκοις ἐπιδείξαντος φαιδροτέραν, δίκαιά τε πάντα πρὸς ζῆλον τῆς πρεσβυτέρας Ῥώμης δωρησαμένου, καθὰ καὶ ἐν τῷ Στρατηγίῳ λεγομένῳ φόρῳ, ἔνθα ποτὲ οἱ στρατηγοῦντες τῆς πόλεως ἄνδρες τὰς τιμὰς ὑπεδέχοντο, ἐπὶ λιθίνης ἀνέγραψε στήλης. **40.** Καὶ τῆς ἑαυτοῦ μητρὸς Ἑλένης ἐπὶ κίονος ἀνέστησεν ἄγαλμα καὶ τὸν τόπον ὠνόμασεν Αὐγουσταῖον· καὶ τοῖς ἀκολουθήσασιν αὐτῷ ἀπὸ τῆς μεγάλης Ῥώμης συγκλητικοῖς ἐφιλοτιμήσατο οἴκους, οὓς αὐτὸς κατεσκεύασεν ἐκ χρημάτων ἰδίων. **41.** Ἐπὶ δὲ τούτῳ [Κωνσταντίου τὴν ἀρχὴν διαδεξαμένου] καὶ ὁ τῶν ὑδάτων ὁλκὸς προςετέθη τῇ πόλει· ἀνέστησαν δὲ καὶ αἱ δύο ἀψίδες πρὸς τῷ καλουμένῳ φόρῳ καὶ ὁ πορφυροῦς καὶ περίβλεπτος κίων, ἐφ᾽ οὗπερ ἱδρῦσθαι Κωνσταντῖνον ὁρῶμεν δίκην ἡλίου προλάμποντα τοῖς πολίταις. Ἐπὶ δὲ τούτοις καὶ τοὺς τῆς συγκλήτου βουλῆς ἀνῳκοδόμησεν οἴκους, Σενάτα τούτους ὀνομάσας, ἐν οἷς καὶ τοῦ Δωδωναίου Διὸς ἀνέστησεν

---

1 προκειμένων Ang 2 ἀποδείξαντα Ang 5 ὑποδέχονται Ang, ἀπεδέχοντο A, B 6 ἑαυτὸν ἐπὶ λιθίνης κτλ. BG αὐτοῦ Ang K 7 Ἑλένης om. P 8 αὐγουστίωνα ABJ, αὐγουστεῶνα G αὐτῷ ἄρχουσιν ἀπὸ Ῥώμης συγκλητικοῖς AJ 10 ἐπὶ δὲ τούτῳ τῷ χρόνῳ Ang, ἐπὶ δὲ τούτοις A, ἐπὶ δὲ τούτου BG 11 Κωνστ. τὴν ἀρχὴν διαδεξαμένου om. Ang K; est glossema manifestum καὶ τῶν ὑδάτων ὁλκὸν προςετίθει τῇ π. A 12 ἀνέστησαν δὲ αἱ δύο ἀψ. P, ἀνέστησε δὲ καὶ δύο (δ. om. A) ἀψίδας AB ἀψῖδες P 13 πρὸς τὸν καλ. φόρον A 15 post πολίταις inserit Ang: Τούτου δὲ τοῦ κίονος τοῖς θεμελίοις τε καὶ προςβάσεσι καὶ ξύλα τίμια καὶ ἁγίων λείψανα καὶ ὅσοι τοὺς τῆς εὐλογίας ἄρτους ἔφερον κόφινοι καὶ οἱ τῶν λῃστῶν δύο σταυροὶ καὶ τὸ τοῦ ἁγίου μύρου ἀλάβαστρον πρὸς στηριγμὸν καὶ ἀσφάλειαν παρετέθησαν. εἰ δὲ καὶ τὸ Παλλάδιον, εὐτυχίας θρυλλούμενον σύμβολον, ἐκ Ῥώμης ἀνακομισθῆναι τότε ἡ σύγκλητος ἔπεισεν, ὥς φασί τινες, καὶ τοῖς θεμελίοις προστεθῆναι τοῦ κίονος, τοῦτο πάντως ἔργον ἐκείνοις ἀνδράσιν ἐστὶ πρὸς μυθώδη λῆρον εὐδαιμονίας ἐπτοημένοις. V. praef. 17 ἐν οἷς — ἱδρύματα om. P τοῦ ante Δωδωναίου om. Ang

ἄγαλμα καὶ δύο τῆς Παλλάδος ἱδρύματα καὶ τὴν τῶν βασιλείων αὐλήν. **42.** Πάντα δὲ κατὰ τὸν εἰρημένον τρόπον πληρώσας ὁ Κωνσταντῖνος καὶ τὴν τῶν ἐγκαινίων ἡμέραν κατὰ τὴν ἑνδεκάτην τοῦ Μαΐου μηνὸς ἐπιτελέσας ἐν ἔτει τῆς βασιλείας αὐτοῦ εἰκοστῷ πέμπτῳ ἱπποδρόμιον θεωρήσας διέταξεν οὕτω τὴν αὐτοῦ στήλην ἐπὶ τοὺς ἐφεξῆς χρόνους τῇ τῶν γενεθλίων ἡμέρᾳ ὁρᾶσθαι μετὰ τῆς εἰθισμένης τιμῆς τῷ κατὰ καιρὸν βασιλεύοντι καὶ τῷ δήμῳ. Οὕτω μὲν οὖν ἡ Κωνσταντινούπολις πρὸς τόδε τὸ μέγεθος ἐξενήνοχεν ἐκ διαδοχῆς βασιλευομένη μέχρι τῶν καθ' ἡμᾶς χρόνων.

---

1 τὴν βασιλικὴν αὐλὴν A 2 post αὐλὴν inserit Ang: Ὁ δὲ βασιλεὺς οὐ μόνον οἴκους ἐν Κ/πόλει περιφανεῖς κατὰ μίμησιν Ῥώμης καὶ τὸ Καπετώλιον ἔκτισεν, ἀλλὰ καὶ θείους τε καὶ ἱεροὺς ναοὺς πολυτελῶς ἀνεδείματο, τόν τε τῆς ἁγίας Εἰρήνης ναὸν καὶ τῶν σεβασμίων καὶ κορυφαίων Χριστοῦ μαθητῶν καὶ τοῦ ἁγίου Μωκίου καὶ τὸν τοῦ ἀρχαγγέλου Μιχαὴλ τοῦ ἐν τῷ Ἀνάπλῳ καὶ τοῦ ἐν τῷ Σωσθένει, ἐν ᾧ Σωκράτης διισχυρίζεται Κωνσταντῖνον πολλὰ παράδοξα σημεῖα καὶ ἰδεῖν καὶ ἀκοῦσαι. V. praef. 5 εἰκοστῷ πέμπτῳ εἰκάδι ἑβδόμῃ Ang 7 εἰρημένης K 10 ἐκ διαδοχῆς θεοῦ χάριτι καὶ συνεργίᾳ βασ. κτλ. Ang

Παραστάσεις σύντομοι χρονικαί.

1. *Δέον γινώσκειν ὅτι ὁ ἅγιος Μώκιος πρώην μὲν ὑπὸ Κωνσταντίνου τοῦ μεγάλου παροικοδομήθη Ἑλλήνων πλήθη ἐκεῖσε κατοικούντων πολλά· καὶ ναὸν εἶναι τοῦ Διὸς ἐκεῖσε, καθ' ἣν ⟨καὶ ἐκ τῶν λίθων αὐτοῦ⟩ ἔκτισε τὸν ναόν· πίπτει δὲ ὑπὸ Κωνσταντίνου ἐν τῇ τρίτῃ αὐτοῦ ὑπατείᾳ. Ἐν δὲ ταῖς ἡμέραις Θεοδοσίου τοῦ μεγάλου ἐξορίζονται οἱ Ἀρειανοὶ τῶν ἁγίων ἐκκλησιῶν καὶ ἐλθόντες ἐν τῷ ναῷ τοῦ ἁγίου Μωκίου ἠράσθησαν καὶ παρακαλοῦσι τῷ βασιλεῖ κατοικεῖν αὐτοὺς ἐκεῖ, ὃ καὶ γέγονεν. Παρευθὺ οὖν ἀνεγείρουσι τὸν αὐτὸν ναὸν οἱ Ἀρειανοὶ καὶ δοξάζεται παρ' αὐτῶν ὁ ναὸς ἔτη ζ'· καὶ πίπτει, ὡς λόγος ἔχει, λειτουργούντων αὐτῶν ἐν τῷ ζ' ἔτει· καθ' ὃν Ἀρειανοὶ ἀπεκτάνθησαν πολλοί. Ἐν δὲ ταῖς ἡμέραις Ἰουστινιανοῦ τοῦ βασιλέως ἀνεγείρεται ὁ αὐτὸς ναὸς καὶ ἵσταται ἕως ἡμῶν· ἐν δόλῳ Μάρκελλος ἀνα-*

§ 1 l. 2—5 (*ναόν*) et 6—15 (*Ἐν—ἡμῶν*): Codin. II 110 (p. 72, 17 Bekker. v. app. crit.)

---

3 *πλήθη πολλὰ* est attributum vocis *Ἑλλήνων*; de eiusmodi barbarie v. Dindorf ad Malal. p. 128, 19 et 227, 5, Dobschütz Christusbilder 214**, 5 *παρὰ τῷ αἰγιαλῷ τὰ Ἀμαντίου προσαγορευόμενα* 5 *καὶ ἐκ τῶν λίθων αὐτοῦ* supplevi ex Codino 6 *Κωνσταντίου*? 9 *ἠράσθησαν*| *ἠθροίσθησαν* Alexis 12 *ὡς λόγος ἔτει* P (*ἔτι* edd.), correxi coll. § 7, 82, 85 13 *καθ' ἣν*? 15 *ἡμῶν ἐν δόλῳ* // *μάρκελλος* P, 'falso Marc. etc.' vertit Banduri; pro *ἐν δόλῳ* conicit Lamb. *ὅλως* vel *σὺν δόλῳ* iungens periodo praecedenti. *ἐν δ' λόγῳ* Comb.

γνώστης φησὶν ὅτι ἐν τῷ δευτέρῳ ἔτει τῆς βασιλείας Κόνωνος τοῦ Ἰσαύρου πίπτει ὁ ναός.

2. *Ὁ ἅγιος Ἀγαθόνικος ὑπὸ Ἀναστασίου τὸ πρότερον καὶ Ἰουστινιανοῦ τοῦ μεγάλου τὸ δεύτερον οἰκοδομήθη· ἐν ᾧ καὶ πατριάρχαι ἐπισκόπησαν ἐν τῷ αὐτῷ ναῷ ζ' ἐπὶ χρόνους ν'· καὶ βασιλεῖς στεφηφοροῦσιν ἐκεῖσε. Δι' ἣν αἰτίαν μετεποιήθη † ὑπὸ θυμοῦ, οὐ γινώσκεται. Τοῦτο δὲ παρέδωκαν οἱ πρὸ ἡμῶν ὅτι καὶ παλάτιον μέγιστον πλησίον τοῦ ναοῦ τούτου ἦν· ὑπὸ δὲ Τιβερίου τοῦ πρώτου μετεποιήθη διολεσθὲν εἰς τὰ νῦν βασίλεια.*

3. *Τὰ τείχη τὰ πρὸς θάλασσαν ἀνακαινίζονται ἐπὶ Τιβερίου Ἀψιμάρου· ἕως γὰρ αὐτοῦ ἠμελημένα ἦσαν πάνυ. Τὰ δὲ τείχη τῆς δύσεως τῶν μεγάλων πορτῶν ἐπὶ Λέοντος τοῦ μεγάλου καὶ εὐσεβοῦς· καθ' ἣν καὶ ἐλιτάνευσαν καὶ τὸ 'κύριε ἐλέησον' τεσσαρακοντάκις ἐβόησαν καὶ ὁ δῆμος τοῦ Πρασίνου ἔκραξαν· 'Λέων Κωνσταντῖνον εἰς κράτος ἐνίκησεν'.*

4. *Ἐν τῇ κατωγαίᾳ πόρτῃ τῇ πληρεστάτῃ στοιχεῖον ἵστατο Φιδαλείας τινὸς Ἑλληνίδος. Ἀρθείσης δὲ τῆς στήλης θαῦμα ⟨ἦν⟩ ἰδέσθαι μέγα, τὸν τόπον ἐκεῖνον ἐπὶ πολὺ*

---

§ 2 Codin. II 107 (p. 71, 1 B) § 3 Codin. II 109 et 108 (p. 71, 8 B) § 4 Codin. II 86 (p. 59, 3 B)

---

4 *ἰουστιανοῦ* P 6 *ἐστεφηφόρουν* Band. 7 *θυμοῦ*] P, adulterinum esse videtur; *Τιβερίου* Lamb., *ἀπὸ θεμελίου*? cf. § 75 10 *διολισθὲν* edd. et Codin., sed cf. Theophan. p. 299, 17 etc. 13 *τῆς δύσεως*] *τῆς πόλεως* Lamb. *Λέοντος κτλ.*] scriptoris errore Leo Macelles muros instauravisse dicitur, cum id Isaurum suscepisse sciamus; cf. Banduri 2, 780 (*δυσσεβοῦς* idcirco scribere voluit Comb.) 15 *τεσσαρ.*] *μ'* P 16 *κωνσταντῖνος* P, corr. Comb., cf. § 35; *Λέων καὶ Κωνσταντῖνος . . ἐνίκησαν* Lamb., *Λέων Κωνσταντῖνος καὶ Θεοδόσιος . . ἐνίκησαν* Codin. 18 *πλησιεστάτῃ* Lamb. 19 *φιδαλίας* P 20 *ἦν* suppl. Comb. ex Codino

σείεσθαι, ὥστε καὶ τὸν βασιλέα θαυμάσαι καὶ λιτὴν ἀπελθεῖν ἐν τῷ τόπῳ καὶ οὕτως παῦσαι Σάβα τοῦ ὁσίου δι' εὐχῶν τοῦτο ποιήσαντος.

5. Ἐν τῇ λεγομένῃ Νεολαίᾳ ἵστατο γυναικεία στήλη καὶ βωμὸς ⟨μετὰ μοσ⟩χαρίδιον μικρόν· ἐν οἷς καὶ ἵπποι χρυσίῳ διαλαμπεῖς τέσσαρες· ἐπὶ ⟨δίφρου δὲ καὶ⟩ διφρελάτου θη⟨λείαϲ ϲτήλη⟩ ἐν τῇ δεξιᾷ χειρὶ κατέχουϲα ϲτηλίδιόν τι, ἄγαλμα διατρέχον. Τοῦτο οἱ μὲν λέγουϲι Κωνϲταντίνου καταϲκευήν, ⟨οἱ δὲ?⟩ τὴν ζεῦξιν μόνην, τὴν δὲ λοιπὴν ἀρχαίαν εἶναι καὶ μηδὲν παρὰ Κωνϲταντίνου καταϲκευαϲθῆναι. Ἕωϲ γὰρ Θεοδοϲίου τοῦ μεγάλου θέαμα παρὰ τῶν πολιτῶν γέγονεν ἐν τῷ Ἱπποδρομίῳ, μετὰ κηρῶν καὶ λευκῶν χλαμύδων φοροῦνταϲ πάνταϲ εἰϲέρχεϲθαι τὴν αὐτὴν ϲτήλην μόνην ἐπάνω ἅρματοϲ [ἤγουν καρούχαϲ] ἕωϲ τοῦ ϲτάματοϲ ἀπὸ τῶν καγκέλλων. Τοῦτο δὲ ἐξετέλουν, ὅτε τὸ γενέθλιον τῆϲ πόλεωϲ ἑορτάζετο. Ἐκεῖ δὲ ἐν ζῳδίοιϲ ἐϲτηλώθηϲαν εἰϲ τοὺϲ κίοναϲ ὁ Ἀδὰμ καὶ ἡ Εὔα καὶ ἡ Εὐθηνία καὶ ὁ Λιμόϲ.

5a. Ἐν τῇ λεγομένῃ λίμνῃ τοῦ Νεωρίου βοῦϲ ἵϲτατο χαλκοῦϲ παμμεγεθέϲτατοϲ πάνυ. Κράζειν δὲ ἔλεγον αὐτὸν ὡϲ βοῦν μίαν τοῦ ἐνιαυτοῦ, καὶ γίνεϲθαι παραπτώματα ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, ἐν ᾗ ἔκραξεν. Ἐπὶ δὲ Μαυρικίου τοῦ βαϲιλέωϲ ἐν αὐτῇ τῇ λίμνῃ κατεχώϲθη.

§ 5 Codin. II 87 (p. 59, 11 B.)

1 *βασιλέα*] aut Anastasium aut Justinianum fuisse Sabae vita a Cyrillo conscripta docet 2 *παῦσαι*] de verbi usu intransitivo vid. de Boor in ind. ad Theophanem 4 *νεολέᾳ* P; locus circi fuisse videtur unde *νεολαία* spectare solebat 5 *βωμὸς χαρίδιον* P; corrigebam corruptelam ex homoioteleuto natam Codinum (*μετὰ μοσχαρίου*) secutus: in exemplari fuerat *βωμὸσ μετὰ μοσχαρίδιον*; de *μετὰ* cum accus. cf. § 10 et 32, de tenui pro aspirata v. index s. v. phonetica; *καὶ μοσχάριον* Lamb., *καὶ ἀρνίον μικρὸν* Comb. 6 *δίφρου δὲ καὶ* supplevi ex Codino, ubi legitur *ἐπὶ δίφρου καὶ διφρηλάτου γυναικὸς* (sc. *στήλη*); *καὶ διφρηλάτης ἐπὶ δίφρου* Lamb. 7 Post *θη* excidit folium ex codice; supplevi l. 7 — p. 22, 26 ex Codino II 87 - 90 (p. 59, 14—61, 18 B). Ad rem cf. § 38

5b. Τοῦ Μαυρικίου στήλη καὶ τῆς γυναικὸς καὶ τῶν τέκνων αὐτοῦ ἐν τῇ Χαλκῇ ἵσταται ἄνωθεν τῆς θεανδρικῆς εἰκόνος τοῦ Ἰησοῦ Χριστοῦ· ὑπ' αὐτοῦ γὰρ κατεσκευάσθησαν. Αἱ δὲ δύο στῆλαι αἱ ἐκτεταμέναι τὰς χεῖρας ὁ εἷς τῷ ἑτέρῳ ἐκ τῆς Ἀθηναίων γῆς ἥκασιν· φιλοσόφων δέ φασιν εἶναι, ὡς φησιν Λιγύριος ὁ Ἑλληνικός.

5c. Μετὰ τὸ ἀποθανεῖν Μαρκιανὸν τὸν βασιλέα ἐγένετο Εὐτύχους τινὸς μαθητὴς ὀνόματι Ἄκατος, διάκονος ὑπάρχων τοῦ ναοῦ τῆς ἁγίας Εὐφημίας· ὃς ἰδὼν ἡττηθέντας τοὺς κατὰ Εὐτύχην κατέλαβε Σεραπίωνα (?) τὸ κάστρον· τοῦτο δὲ ἦν ἓν τῶν Περσῶν, Ῥήγιον τοὔνομα. Ἐμήνυσε δὲ Περιττίῳ τῷ καστροφύλακι τὰ τῆς ἀσθενείας τῶν ἐν Καλχηδόνι οἰκούντων· ὃς παρευθὺ τοῦ ἅρματος ἐπιβὰς — οὕτως γὰρ τοῖς ἐν Ῥηγίῳ καστροφύλαξι πέφυκε — μετὰ ἑβδομήκοντα χιλιάδων ἔρχεται ἐπὶ τὴν Καλχηδονίων μητρόπολιν· οἱ δὲ ἐκεῖσε προγνόντες ἔφυγον ἐν τῷ Βυζαντίῳ ἄραντες μεθ' ἑαυτῶν καὶ τὰ τίμια λείψανα τῆς ἁγίας Εὐφημίας· ὅπερ αὐτὸς Ἄκατος ἀμυνόμενος διὰ τὸ μὴ συγχωρηθῆναι Εὐτύχει τὴν ἐκκλησίαν κατὰ ταύτης τὸν Πέρσην Περιττίωνα ἤγαγε. Τότε ἡρπάγη παρὰ τῶν Περσῶν ὁ Ἥλιος θεὸς ὁ λεγόμενος Κρόνος, ὃς ἵστατο ἐν Καλχηδόνι· ὃν καὶ ἀπήγαγον εἰς Περσίαν.

5d. Ἐπὶ Λέοντος τοῦ Ἰσαύρου πολλὰ θεμάτια παρελύθησαν ἀρχαῖα διὰ τὸ τὸν ἄνδρα ἀλόγιστον εἶναι. Τότε τὸ λεγόμενον Τρίζωδον τὸ εἰς τὰ κοῦφα τοῦ ἁγίου Μωκίου κάτωθεν ὑπάρχον ἐπήρθη· ἐν αὐτῷ ἠστρονόμουν ἕως τότε πολλοί· καὶ τύμβοι Ἑλ*λήνων καὶ Ἀρειανῶν ὑπάρχουσι κεχωσμένοι καὶ ἄλλα εἰς πλῆθος σκηνώματα.*

6. *Τὸ δὲ Πάνορμον κάστρον ὑπὸ τοῦ Πανόρμου Ἕλληνος ἐκτίσθη διπλότειχον ὑπάρχον σιδήρου καὶ χαλκοῦ δίκην ἀναμεμιγμένου. Ἐν δὲ τῇ πρὸς βορρᾶν πόρτῃ τοῦ αὐτοῦ κάστρου ἵστατο στυράκιον ἰκμώδη καὶ στήλη γυναι-*

---

§ 6 l. 4 — p. 23, 8 (— *νῦν*): Codin. II 92 (p. 62, 1 B)

---

28 *Πάνορμον*] portus Cyzici significari videtur 31 **στυράκιον**] **πυργίον** vel **πυργίδιον** Comb. et Band. Sed **στυρ.**

κεία δικέφαλος. Ἔνθα καὶ θέαμα γέγονεν· ἐμπυρισμοῦ γάρ ποτε τὸ κάστρον κατειληφότος καὶ πάσης τῆς πόλεως ἐδαφισθείσης μετὰ καὶ τῶν τειχῶν ἵστασθαι τὸ πυργίον ἐκεῖνο τῆς πόρτης, ἔνθα καὶ ἡ στήλη συνίστατο. Ἀλλὰ πολλάκις καὶ τοῦ πυρὸς προσεγγίζοντος τῷ τόπῳ ὡς ὑπό τινος διώκοντος αὐτὸ ὄπισθεν ὡς ὀργυιὰς ε΄ ὑπεχώρει τῆς στήλης. Αὕτη δὲ παρελήφθη ὑπὸ Χοσρόου τοῦ Περσῶν τυράννου καί ἐστιν εἰς Περσίδα λατρευομένη ἕως τοῦ νῦν, καθὼς ὁ Παραδείσιος διοικητὴς ἐκεῖσε κρατηθεὶς καὶ ἐκφυγὼν δῆλα πεποίηκεν ἐν τῷ χρονικῷ Ἱππολύτου τὸ τρίτον δημοσιευομένῳ. [Ζήτει ἱστορίαν ἐξαίσιον.]

7. Τὸ δὲ καλούμενον Σμύρνιον πλησίον τοῦ Τετραδισίου ἐμβόλου ἔχει ὑποκάτω τῆς γῆς, τὸ πρὸς βορρᾶν μέρος ὀργυιὰς ι΄, στήλας θ΄ πλησίον τοῦ ναοῦ τοῦ Θεοδώρου. Εἰσὶν δὲ αἱ στῆλαι αἱ μὲν τέσσαρες Κωνσταντίνου τοῦ μεγάλου καὶ τῆς γυναικὸς αὐτοῦ Φαύστας καὶ Ἱλαρίωνος πραιποσίτου καὶ τοῦ παιδὸς τοῦ τρίτου Κωνσταντίνου τοῦ ὁμωνύμου,

§ 7 l. 12—p. 24 l. 11: Codin. II 93 p. 62, 19 B.

Byzantinis esse turriculam vel 'columnam intus cavam gradibusque instructam' docet Reiske ad Const. Porph. de caer. p 151, 14, cf. p. 601, 2, Theoph. cont. p. 140, 16, Codin. III 190 et 202 (p. 124, 11 et 127, 10 B) ἰκμώδη] ἠχμῶδι P, correxi, de forma cf. § 43 ζώδιον πορφυροειδῆ (αὐχμῶδι Comb., αἰχμώδη Du Cange, αἰχμῶδες vel ἡ αἰχμὴ Lamb.) 1 θαῦμα? ἐνπυρισμοῦ P 2 τοῦ κάστρου P ἐδαφηθείσης P 9 παραδείσιος appellative accipit Comb.: 'vivarii comes' vel praefectus; de dioecetae munere v. Reiske ad Const. Porph. de caer. 717, 19, Du Cange Gloss. lat. s. v. Dioecetes 10 Ἱππολ.] cf. Hippolyt. Theb. ed. Diekamp p. 33 δημοσιευόμενον P 11 extrema verba seclusi 15 τέσσαρες] τρεῖς P (etiam Codini codd.) 17 Falsa tradit scriptor, sed noli corrigere (καὶ Κρίσπου τοῦ παιδὸς Κωνσταντίνου τοῦ μεγάλου vel καὶ τοῦ παιδὸς Κωνσταντίνου τοῦ ὁμωνύμου καὶ ἑτέρου Κρίσπου ὀνομαζομένου Lamb., καὶ τετάρτη τοῦ παιδὸς Κωνσταντίνου τοῦ Κρίσπου Comb.); inter-

ὃν Ἡρόδοτος καὶ Ἱππόλυτος χρονογράφοι λέγουσιν ἀποκεφαλισθῆναι ὑπὸ τοῦ πατρός· ὃν καὶ λυπηθεὶς ὁ πατὴρ μετενόησε καὶ ἔκλαυσεν ἐπ᾽ αὐτῷ μ´ ἡμέρας, ὡς ὁ λόγος ἔχει, μὴ λουσάμενος τὸ σῶμα, μὴ ἀναψύξας ἐν κοίτῃ. Ἐποίησε δὲ τὴν στήλην ἐξ ἀργύρου καθαροῦ βάψας αὐτὴν χρυσῷ πλείστῳ, τὴν δὲ κεφαλὴν μόνην ἐκ χρυσίου τελείου γράφουσαν ἐν τῷ μετωπιδίῳ· 'ἠδικημένος υἱός μου'. Ταύτην στήσας μετάνοιαν βάλλων ἐλιπάρει θεῷ ὑπὲρ ὧν ἐπλημμέλησεν. Αἱ δὲ λοιπαὶ ε´ στῆλαι ὑπάρχουσιν Σευήρου, Ἁρματίου, Ζευξίππου, Βιγλεντίου <τοῦ τὰ Βιγλεντίου> κτίσαντος καὶ Ἐλευθερίου τοῦ εἰς τὸ Σινάτον τὸ παλάτιον κτίσαντος. Οὗτοι πάντες ξίφει παρεδόθησαν καὶ ὑπὸ τοῦ ἀδικήσαντος στηλωθέντες συγχώρησιν παρὰ τοῦ πλημμελήσαντος ἐδυσωποῦντο. Παρέλαβον δὲ καὶ τὰ οἰκεῖα τέκνα τοῦτο αὐτὸ ποιεῖν καὶ ἐκ τούτων πολλοὶ ἕως Οὐάλη τοῦ Ἀρειανοῦ. Οἱ οὖν Ἀρειανοὶ μὴ φέροντες τὴν ἧτταν τὴν διὰ Κωνσταντίνου ἐν τῷ εἰρημένῳ Τετραδισίῳ ἐμβόλῳ πλησίον τοῦ ἁγίου Θεοδώρου ταύτας κατέχωσαν ἕως τῆς σήμερον.

8. Ἐν δὲ τῷ Σινάτῳ ἀπετέθησαν ἡνίοχοι ἐν ζευξίπ-

---

§ 8 Codin. II 94 (p. 64, 3 B)

polavit locum Codinus, quem sequitur cod. Mosqu. Georgii Monachi p. 428 (cf. Patzig B. Z. VI 332) 1 Ἡρωδίων coll. § 61 Lamb. Ἱππολ.] cf. ad p. 23 l. 10 4 μηδὲ? 9 σεβήρου P ἁρμάτου P 10 τοῦ τὰ Βιγλ. ex Codino suppl. Lamb. 18 ἕως τὴν σή· P, sed cf. § 19, 23, 26 20 Hoc loco valde obscuro narrari videtur in senatu *statuas* aurigarum, quae erant ἐν ζευξίπποις (curruum genere?) sublatas et in organo astronomico positas esse; currus vero in fornice esse defossos ἀπετέθησαν] = ἀφῃρέθησαν? cf. § 11 Ἐν τῇ ἐκκλησίᾳ στῆλαι ἀφῃρέθησαν. Cui adversari videtur vis verbi in § 60 ἡνίοχοι ἐν ζευξίπποις] quales significentur aurigae nescio; 'ζεύξιπποι iunctores' Corp. Gloss. Lat. III 241, 5, 'ζεύξιππος desultor' C. Gl. L. II 46, 20; an ἐν ἑξίπποις ('ἑξάιπποι sex-

ποις καὶ ἐτέθησαν ἐν τῷ ἀστρονομικῷ ὀργάνῳ, ἔνθα τῆς Ἀρτέμιδος καὶ τῆς Ἀφροδίτης ἵστανται στῆλαι· ἐν αἷς σκυτάλαις ἀπεκεφαλίσθη ὑπὸ τῶν Ἀρειανῶν Ἀρκάδιος ἀρχιδιάκονος τῆς ἁγίας Εἰρήνης· ἔνθα καὶ λέγουσι σείεσθαι τὰς στήλας ἕως τριῶν ἡμερῶν τοῦ θανάτου τούτου. Αἱ δὲ καροῦχαι ἐν τῷ εἰλήματι κατεχώσθησαν ἐπὶ Θεοδοσίου τοῦ βασιλέως.

9. *Καὶ τοῦτο δὲ ἐμφέρεται, ὅτι οἱ δώδεκα κόφινοι δέκα ἔτη ἐν τῷ νέῳ παλατίῳ τοῦ Σινάτου πεποιήκασιν· μετὰ δὲ ταῦτα ⟨ἐν⟩ τῷ εἰλήματι κατεχώσθησαν Μητροφάνους ἐπισκόπου Κωνσταντινουπόλεως τοῦτο συμβουλεύσαντος τῷ μεγάλῳ βασιλεῖ Κωνσταντίνῳ.*

10. *Καὶ τοῦτο δὲ ἐμφέρεται εἰς τοὺς πολλούς, ὅτι Μητροφάνους καὶ Ἀλεξάνδρου καὶ Παύλου αἱ εἰκόνες ἐν σανίσι γεγόνασιν ὑπὸ τοῦ μεγάλου Κωνσταντίνου· καὶ ἵσταντο ἐν τῷ Φόρῳ πλησίον τῆς μεγάλης στήλης τῆς ἐν τῷ κίονι κατὰ τὴν ἀνατολήν· ἅστινας εἰκόνας οἱ Ἀρειανοὶ μετὰ τὸ κρατῆσαι τῷ πυρὶ παραδέδωκαν ἐν τῷ κουρονίῳ Μιλίῳ μετὰ καὶ τῆς Θεοτόκου ἀπεικόνισμα καὶ αὐτοῦ τοῦ νηπιάσαντος σαρκὶ Ἰησοῦ, καθὰ Ἀγκυριανὸς χρονο-*

§ 9 l. 8—10 (*κατεχ.*): Codin. II 95 (p. 64, 9 B) § 10 Codin. II 106 (p. 70, 4 B)

iugae' C. Gl. L. III 302, 69 et alibi)? 1 *καὶ ἐτέθησαν* secl. Band. 2 *ἵσταται στήλη* P, correxi ex Codino *ἐν αἷς*] *καὶ* Lamb. *σκυτάλαις*] '*σκυτάλη* rutrum' C. Gl. L. III 263, 14 6 *ἐλήματι* P, *εἰλήματι τοῦ Ἱπποδρομίου* GB 8 *ἐμφένεται* P, corr. Lamb., cf. § 10, 59 10 *ἐν* suppl. Comb. (etiam Codini codd. GB) *εἰλήματι τοῦ Φόρου* GB; cf. quae tradit Constant. Rhod. 76 (*πρὸς θέμεθλα τοῦ στύλου* sc. *τοῦ πορφυροῦ*) et adn. ad Hesych. p. 17, 13 11 *συμβολεύσαντος* P 18 sq. *ὡρείῳ Μιλίῳ* Lamb. coll. § 38 19 *ἀπεικόνισμα* P] cf. § 32 adn. crit. 20 *Ἀγκυρανὸς* 'Ancyra oriundus' Lamb.

γράφος ἐν τῇ Δεκαλόγῳ αὐτοῦ ἀκριβέστερον παρὰ Ἀναστάσιον ἡμῖν παραδέδωκεν. [τὸ δ' αὐτὸ καὶ αὐτὸς Ἀναστάσιος.]

11. *Ἐν τῇ μεγάλῃ ἐκκλησίᾳ τῇ νῦν ὀνομαζομένῃ ἁγίᾳ Σοφίᾳ στῆλαι ἀφῃρέθησαν υκζ', αἱ πλεῖαι μὲν Ἑλλήνων ὑπάρχουσαι· αἵτινες ἐκ τῶν πολλῶν ὑπῆρχον τοῦ τε Ζεῦ [καὶ τοῦ Διὸς] καὶ Κάρου τοῦ πατρωιοῦ Διοκλητιανοῦ καὶ τὸ δωδεκάζωδον καὶ ἡ Σελήνη καὶ ἡ Ἀφροδίτη καὶ ὁ Ἀρκτοῦρος ἀστὴρ παρὰ δύο Περσικῶν στηλῶν βασταζόμενος καὶ ὁ νότιος πόλος καὶ ἱέρεια τῆς Ἀθηνᾶς ἀπὸ τοῦ πλευροῦ τὸν Ἥρωνα φιλόσοφον μαντεύουσα. Ἐκ δὲ τῶν Χριστιανῶν ὀλίγαι μὲν ὡσεὶ π'· καὶ δέον ἐκ τῶν πολλῶν ὀλίγας μνημονεῦσαι· Κωνσταντίνου, Κωνσταντίου, Κώνσταντος, Γαληνοῦ κυαίστορος, ⟨Ἰουλιανοῦ Καίσαρος καὶ ἑτέρου Ἰουλιανοῦ ἐπάρχου⟩, Λικινίου Αὐγούστου, Οὐαλεντινιανοῦ καὶ Θεοδοσίου καὶ Ἀρκαδίου [καὶ] τοῦ υἱοῦ αὐτοῦ, Σεραπίωνος ὑπατικοῦ καὶ*

§ 11 l. 4 — p. 27, 4 in.: Codin. II 96 (p. 64, 12 B); Anon. Treu p. 9, 14 (Suid. s. v. *Σοφία*). — Eadem a Codino retractantur I 49 (p. 16, 16 B)

1 *ἐν τῷ δεκάτῳ λόγῳ* Codini codd. AMB 2 Glossema indicavi 4 *ἐκ τῆς κτλ. . . Σοφίας* Lamb. *ἁγία* bis extat in P 5 *πλήαι* P (*αἱ πλεῖαι-ὑπῆρχον* om. Tr. Suid.), *πλεῖσται* Band. 6 *τοῦ τε Ἀπόλλωνος καὶ τοῦ Διὸς* Lamb. ex codd. A Codini I 49 7 *καὶ τοῦ Διὸς* seclusi *πατρυοῦ* P; *Κάρου τοῦ πατρὸς καὶ Διοκλ.* Lamb., *Κάρου τοῦ πρὸ Διοκλ.* Meursius 8 *καὶ τῶν δώδεκα ζῳδίων* Tr. *καὶ σελήνη ἡ ἀφροδίτης* P, recte Tr. et Codin. 9 *βασανιζόμενος* P, recte Tr. et Codin. 10 *νομάτιος* P, recte Tr. et Cod. *ἱέρεια*] *ἡ ἐριδία* P, *ἱεριδία* Comb. fort. recte 11 *ἥρωνα* P *μαντεύειν τινὰ* 'alicui vaticinari' non alienum videtur esse ab hac aetate, cf. *πολεμεῖν, ἐγγίζειν τινὰ* § 54 et § 28, Hatzidakis Einleitung p. 220 sq. 12 *ὀλίγοι* P, *οὐκ ὀλίγαι* Lamb., sed opponi videtur p. 26, 5 *αἱ πλεῖαι* 13 *γαλλίνου* Tr. 14 *Ἰουλιανοῦ — ἐπάρχου* supplevi ex Tr. et Cod. 16 *καὶ* interpolationem esse apparet ex Tr. et Cod. *σαραπίωνος* Tr. et Codini codd. aliquot

Ἑλένης μητρὸς Κωνσταντίνου τρεῖς· ἡ μὲν μία πορφυρᾶ διὰ μαρμάρων, ἡ δὲ ἑτέρα διὰ ψηφίδων ἀργυρῶν ἐν χαλκῷ κίονι καὶ ἡ ἄλλη ἐλεφαντώδης Κύπρου ῥήτορος προσενέγκαντος· ἅςτινας Ἰουστινιανὸς μερίσας τῇ πόλει τὸν ναὸν τὸν μέγιστον ἀνεγείρει μετὰ πίστεως καὶ πόνου. Οἱ δὲ πεπειραμένοι τῶν προειρημένων περιερχόμενοι τὴν πόλιν καὶ ζητοῦντες εὑρήσουσιν οὐκ ὀλίγας.

12. Μαναῒμ στρατηγοῦ νικήσαντος Σκύθας κατὰ κράτος, στήλη ἠξιώθη τιμηθῆναι ἐν τῷ καλουμένῳ Ὡρείῳ, ὅ τινες καλοῦσι Μόδιον· ⟨ἦν δὲ καλούμενον ὡρολόγιον, ἔνθα νῦν ἵστανται κίονες καὶ ἁψὶς πρὸς τὸν οἶκον τὸν νῦν λεγόμενον Κρατεροῦ· ἔνθα ἵσταται καὶ μόδιος χαλκοῦς καὶ ὡρεῖον καὶ δύο χεῖραι χαλκαῖ ἐπὶ ἀκοντίων⟩. Τὸ δὲ Μόδιον δέον ἐστὶ μὴ παραδραμεῖν ἡμᾶς ὅτι ἐπὶ Οὐαλεντινιανοῦ ἐτυπώθη.

§ 12 Codin. II 97 (p. 64, 14 B) fere ad verbum. Trêu p. 9, 26 (Suidas s. v. *Μαναΐμ*): Ὅτι Μαναῒμ τοῦ στρ. νικήσαντος Σκύθας ἔστησαν στήλην αὐτοῦ ἐν τῷ καλ. Ὡρείῳ, ὅ τινες καλ. Μόδιον· ἦν γὰρ ὡ ρ ε ῖ ο ν, ἔνθα νῦν ἵστανται κίονες πρὸ τοῦ οἴκου τοῦ Κρατεροῦ· ἔνθα ἵστατο καὶ μόδιος χαλκοῦς πλησίον τῶν χειρῶν· ἦν δὲ ὁ μ ό δ ι ο ς δ ί κ α ι ο ν μ έ τ ρ ο ν, ὡς ἂν τῷ χ ω ρ ή μ α τ ι α ὐ τ ο ῦ κ α ὶ π ω λ ῶ σ ι π ά ν τ ε ς ο ἱ σ ι τ ο π ρ ᾶ τ α ι κ α ὶ ἀ γ ο ρ ά ζ ω σ ι ν ο ἱ σ ι τ ῶ ν α ι κ α ὶ τ ῷ ἴ σ ῳ μ έ τ ρ ῳ δ ί δ ο τ α ι τ ὸ σ ι τ η ρ έ σ ι ο ν· τοῦτο δὲ ἐνομοθέτησεν Οὐαλεντινιανός· πιπράσκεσθαι δὲ τὸν σῖτον μοδίους δώδεκα τῷ νομίσματι μηδενὸς ἀντιλέγοντος. Ὅθεν τις ναύτης βασιλεῖ σῖτον ἀπεμπολῶν καὶ ἀδικῶν φωραθεὶς ἐν τῇ πράσει τὴν δεξιὰν ἀφηρέθη χεῖρα· οἱ δέ φασιν, ὅτι μᾶλλον ἀντεῖπε τῷ βασιλεῖ ὡς ἀδίκως νομοθετήσαντι καὶ διὰ τοῦτο ἀφηρέθη τὴν δεξιὰν χεῖρα. Ὅθεν ἐτυπώ-

2 χαρκῷ P   4 ἰου[illegible]ιανὸς P   8 μαναναῆε P, cf. Tr. Idem nomen in fragmentis Papiae ed. de Boor Texte u. Untersuchungen V 2, 170 (τὴν μητέρα *Μαναΐμου* et alibi Pape-Benseler s. v. *Μανάημος*); cf. Acta Apost. 13, 1 *Μαναήν*   νικήσαντες P   9 ὡρίῳ P   10 ἦν — 13 ἀκοντίων suppl. ex Codino; casu excidisse docent Tr. et Suid.   14 βαλεντινιανοῦ P

Τότε γὰρ καὶ ἀρχιμόδιον παρὰ τῶν ἐν Κωνσταντινουπόλει οἰκούντων ἀνηρευνήθη δεκαδύο † τοῦτο τοῦ ἀργύρου τυπώσαντος· ἀργυροῦν ⟨δὲ⟩ ἀπ' ἀρχῆς ἐτυπώθη τὸ νόμισμα. Τοῦτο δὲ καὶ Θεοδώρητος διαφατεύει τρανότατα. Αἱ δὲ χαλκαῖ χεῖραι ἔκτοτε ὑπεράνω ἐτυπώθησαν· τοῦ γὰρ βασιλέως τοῦτο τὸ κουμούλιον μόδιον νομοθετήσαντος, μὴ ἀνταίρειν δὲ τ⟨οῖς⟩ ναυτιοῦσιν προςτάξαντος, κατὰ τὰ σιτηρέσια εἰς ἐξ ἀμφοτέρων τῶν ναυτῶν τῷ βασιλεῖ τ⟨ὸν⟩ σῖτον ἀπεμπωλῶν ἐν τοῖς ἐκεῖσε δίκην ἄδικον καταγγείλαντος ἐν τῷ κατωγαίῳ Μοδίῳ τὴν δεξιὰν χεῖρα ἀπώλεσεν. Ὅθεν καὶ ἐτυπώθησαν αἱ χεῖραι τοῖς λαμβάνουσιν καὶ τοῖς διδοῦσιν, ἀμφοτέρους ἐκ τῶν προςτεταγμένων μὴ ἀγανακτεῖν. Ὅθεν καὶ Οὐαλεντινιανοῦ τοῦ βασιλέως στήλη ἔξαμον ἐν δεξιᾷ χειρὶ κατέχουσα ἁρπαγῆναι εἰς πάκ⟨τον⟩ διὰ τὸ καὶ αὐτὴν εἶναι ἀργυρᾶν † μικρὰν ὑπὸ ⟨τοῦ⟩ Κυρίου προτίκτορος ἐπὶ Ἰουστινιανοῦ τῷ ⟨β' ἔτει⟩.

θησαν κτλ. ad verbum transcripsit. Cf. etiam Codin. II 51 (p. 45, 16 B) et Treu p. 21, 20

---

1 ἀρχὴ μοδίων Lamb. 2 ἀνηυρέθη Comb. p. 308 δεκα|-δύο P. Incertum exciderint necne post δέκα una vel duae litterae margine subciso τοῦτο κτλ.] locum non expedio; quid dixerit auctor, ex Tr. apparet. Exspectamus: δεκαδύο (sc. μοδίους) τούτου (= τοῦ βασιλέως) τῷ ἀργύρῳ (τὸ ἄργυρον Byzantinis = νόμισμα) ⟨πιπράσκεσθαι⟩ τυπώσαντος 3 ἀργυροῦν δὲ] ἀργυρὸν P, δὲ supplevi ex Codino 6 ἀντερεῖν P, correxi coll. § 26 7 ναυτιοῦσιν* P, derivatum est a * ναυτιῶ vel * ναυτίζω = ναύτης εἰμί; v. Hatzidakis p. 395 sqq. de similibus verbis κατὰ] καὶ P, corrigebam εἰς ἐξαμφοτέρων P (ἀμφότεροι = πάντες cf. § 17) 8 τὸν] exstat in folio initium litterae τ; reliqua abscisa sunt ἀπεμπώλουν P 9 δίκην ἄδικον] = δίκην ἀδικίας καταγγείλαντος] sc. τοῦ βασιλέως vel τοῦ δικαστοῦ 12 βαλεντινιανοῦ P 13 ἔξαμον = examen? cf. § 37; an ἐξάγιον? 14 ἁρπαγῆναι] καὶ ἡρπάγη Lamb., ὥστε ἁρπαγῆναι Comb. εἰς πάκ | P reliquis abscisis, item l. 15 et 16 τοῦ et β' ἔτει perierunt cum margine 15 μακρὰν Comb. κυρίου P, correxi ex Tr. et Cod.

13. *Μενάνδρου μάντεως Κρητῶν ἦκεν ἐν Κωνσταντινουπόλει εἰκών, ἣν ἔστησαν ἐπὶ τὸν Ἀρτοτυριανὸν οἶκον εἰς θέαν διὰ τὸ εἶναι τὴν στήλην εἰς μῆκος πηχῶν ιε΄, πλάτος δὲ ⟨η΄⟩· ἥντινα χυτὴν μὴ ὑπάρχουσαν, ἀλλ' ἐλατὴν Μαρκιανὸς εἰς ὀβολοὺς ἐλάσας τοῖς δημοσίοις προσέθηκεν.*

14. *Ἀρδαβούριος στρατηγὸς ἐπὶ Λέοντος τοῦ πάνυ ἐν τοῖς Θρᾳκῴοις μέρεσιν Ἡρωδιανοῦ στήλην εὑρὼν ἐπίκυ⟨ρτον⟩ πάνυ καὶ παχεῖαν θυμωθεὶς ὤλεσεν· ἥντινα ὀλέσας χρυσίου λιτρῶν ρλγ΄ τάλαντα εὗρεν. ἃ μετὰ προθυμίας τῷ βασιλεῖ κατεμήνυσεν. Ὁ δὲ ὑπ' αὐτοῦ ἐσφάττετο καὶ ὀδυνώμενος ἔλεγεν· οὐδεὶς μολίβδῳ χρυσὸν καταμίξας ἐπὶ ζημίας ἢ ἠνδρίζετο, οἷα παρὰ τῷ κυρτῷ τούτῳ βασιλεῖ εἰς ἐμὲ συμβέβηκεν. Ἔνθεν καὶ οἱ διερχόμενοι τῷ τόπῳ καὶ μάλιστα φιλόσοφοι οὐ τοῖς προτέροις κακοῖς τῷ θανάτῳ Ἀρδαβούριον ἔβαλλον, ἀλλ' εἵνεκεν στήλης Ἡρωδιανοῦ καταλύσεως· ὅτε καὶ Ἄσπαρ σὺν αὐτῷ τὸ πέρας ἐδέξατο. Ἄσπαρος δὲ*

§ 13 Codin II 98 (p. 66, 14 B) paucis discrepat; v. adn.
§ 14 Codin. II 99 (p. 67, 3 B)

1 *κριτῶν* P; Menander quidam, *γόης καὶ ἀπατεύων*, memoratur a Cedreno I 433, 14; 437, 7, Ps.-Pol. p. 212 H. 2 *ἔστησεν* P 4 *η΄* periit cum margine, suppl. ex Codino *χυμευτὴν ὑπάρχουσαν καὶ ἀργυροελατὴν καθαρὰν* Codin. 6 Similes historias collegit Art. Graf Roma nella mem. del medio evo I 161—171 7 *ρτον* periit cum marg. 8 *χρυσίον* P, corr. ex Codino 10 *ὀδυρόμενος* Lamb. 11 *χρυσῷ* P *ἐπιζήμιας ἠνδρ.* P, *ἐπὶ ζημίας* vel *ἐπιζήμιος ἠνδρ.* Codini codd. mel., *ἐπιζήμιος ηὑρίσκετο* ex Codini codd. deterioribus vel *ἐπὶ ζημίας ἡλίσκετο* Comb., *ἐπὶ ζημίας ⟨οὕτως⟩ ἠνδρίζετο* Wuensch (poenas dans sic afflictus est), *ἐπιζήμιος ἐνομίζετο* W. Fischer; an *ἐπὶ ζημίᾳ ἠναρίζετο?* 13 *τὸν τόπον* Codin. 15 *ἐνέβαλον* Codini codd. praeter IA,; de *βάλλω* pro *ἐμβάλλω* v. Usener Theodosios p. 141; an *τὸν θάνατον Ἀρδαβουρίῳ ἔβαλλον?* Cf. Passio S. Perpetuae p. 125, 5 Franchi: *κἀγὼ ἥτις ᾔδειν πρὸς θηρία με καταδικασθεῖσαν, ἐθαύμαζον ὅτι οὐκ ἔβαλλόν μοι αὐτά*

στήλη ἐν τοῖς Ταύρου σώζεται ἕως τῆς δεῦρο κατοχνῖα ἐν ἵππῳ † αννύῳ δεξιολαβεῖ καθὼς ὁρᾶται.

15. ⟨Ἐν⟩ δὲ τῷ Φόρῳ τῷ δεξιῷ τῆς ἀνατολῆς μέρει ἐδέξατο στήλας πορφυρᾶς διὰ μαρμάρων ⟨ι⟩β' καὶ σειρῆνας ιβ'· ἅστινας σειρῆνας οἱ πολλοὶ ἵππους ⟨θαλασσίους⟩ καλοῦσι χρυσεμβάφους. Ἐπὶ δὲ ἡμῶν ἑπτὰ καὶ μόναι καθορῶνται· τὰς δὲ τρεῖς ἐξ αὐτῶν ὁ ἐν τοῖς ἡμετέροις χρόνοις ἐν τοῖς τοῦ ἁγίου Μάμαντος μετέθηκε μέρεσιν, αἱ δὲ δ' σώζονται ἕως τῆς δεῦρο.

16. *Δέον* γινώσκειν ὅτι ὁ σταυρὸς ὁ μεσοσυλλαβῶν ἀναγινωσκόμενος 'ἅγιος' παρὰ τοῦ προστατοῦντος τῷ Φόρῳ ἀνηγέρθη· ἔνθεν καὶ ταχυδρόμων δύο καὶ αὐτοῦ Κωνσταν-

§ 15 Codin. II 100 (p. 67, 19 B) § 16 Codin. II 102 (p. 68, 8 B) fere ad verbum. Treu p. 10, 15 (Suid. s. v. Ἑλένη et σταυρός): Ὅτι ἐν τῇ ἀψῖδι τῆς καμάρας τοῦ φόρου ἵστανται δύο στῆλαι Ἑλένης καὶ Κωνστ. καὶ σταυρὸς ἐν μέσῳ αὐτῶν γράφων· εἷς ἅγιος· καὶ δύο ταχυδρόμων ὁμοίως στῆλαι· ἀνετέθησαν δὲ ὑπὸ τοῦ τὸν φόρον ἐπέχοντος. Ὅτι ἐπὶ τὸ μέρος τὸ βόρειον τοῦ φόρου ἵστατο σταυρός, ὡς εἶδεν αὐτὸν ἐν τῷ οὐρ. Κωνσταντῖνος, χρυσέμπλαστος ἐν τοῖς ἀκρ. στρ. μήλοις· ἔνθεν καὶ αὐτὸς καὶ οἱ υἱοὶ αὐτοῦ καθορῶνται χρυσέμβαφοι. [Inde Codin. II 16 (p. 28, 11 B) et II 18 (p. 29, 9 B); v. Beiträge z. Textg. p. 36]

1 κατοχνῖα P, est participium praesentis perfecti more formatum; cf. ἥκεν ἥκασιν ἡκέναι similia (καθεζόμενος Codin.) 2 | αννύω P; ante α una littera videtur cum margine periisse; γαννύω edd., sed ῥαννύω fuisse mihi ex vestigiis magis probatur; ἐρρωμένῳ Codin. (ῥωννυ(μεν)ω?) δεξιολαβεῖ] cf. Leo Gramm. p. 252, 18 Bonn. τοῦ δεξιοῦ ἵππου οὗ ἤλαυνε; ἵππος ἀδέστρατος vel ἀδίστρατος (a dextra) in Sophoclis lex. s. v. 3 ἐν et 4 ι perierunt cum margine δεξιῷ] Codin., δευτέρῳ P 4 ἐδέξατο P] sc. Λέων? ἐδέξαντο edd. et Codini A_2 5 θαλασσίους addidit Lamb. ex Codino 6 ἑπτὰ καὶ μόνοι P, ἑπτὰ μόνον Comb., sed cf. § 28 et 56 et Malalas ed. Dind. ind. s. v. καί 10 μεσοσυλλαβῶν] activum pro passivo: cf. γράφειν § 7, 17, 26, 44a, τοῖς προαναδεδηλωκόσι § 17 12 ἀνηγορεύθη P

τίνου καὶ Ἑλένης ἐκ δεξιῶν καὶ ἐξ εὐωνύμων σώζονται στῆλαι. Τὸ δὲ προσέρχεσθαι πρὸς βορρᾶν καὶ ἀπέρχεσθαι πρὸς ἀνατολήν, σταυρὸς ἀργυρέμπλαστος ἐν τοῖς ἀκρωτηριακοῖς στρογγύλοις μήλοις ἐν αὐτῷ τῷ τόπῳ ὑπὸ Κωνσταντίνου τοῦ μεγάλου ἀνηγέρθη, ὡς ἐθεάσατο ⟨αὐτὸν ἐν τῷ οὐρανῷ⟩· ἔνθεν οἱ υἱοὶ καὶ αὐτὸς καθορῶνται χρυσέμβαφοι.

17. Ἐν αὐτῷ τῷ Φόρῳ καὶ ἐλέφαντος στήλη φοβερὰ ἵστατο ἐν τοῖς εὐωνύμοις μέρεσι πλησίον τῆς μεγάλης στήλης· ὃ καὶ παράδοξον ἐδείκνυτο θέαμα. Σεισμοῦ γὰρ γενομένου ποτὲ καὶ αὐτὸς πεπτωκὼς ἀπώλεσεν ἕνα τὸν ὄπισθεν πόδα. Οἱ δὲ τοῦ ἐπάρχου βοήσαντες ταξεῶται   ἔθος γὰρ τὰ τοῦ Φόρου παρ' αὐτοῖς φυλάττεσθαι   συνδραμόντες ἐγεῖραι εὗρον ἐν τῷ αὐτῷ ἐλέφαντι ἀνθρώπου ὀστᾶ ἀμφότερα ὅλου τοῦ σώματος καὶ πυξίον μικρόν, ὃ ἐν τῇ κεφαλῇ ἔγραφεν· 'Ἀφροδίτης παρθένου ἱερᾶς οὐδὲ θανούσης χωρίζομαι'. Ὅπερ ὁ ἔπαρχος τῷ δημοσίῳ προσέθηκεν εἰς νουμία τοῖς προαναδεδηλωκόσι.

18. Ἐν δὲ τῷ λεγομένῳ Μιλίῳ Θεοδοσίου στήλη ἵστατο

§ 17 Codin. II 102 (p. 68, 10 B) fere ad verbum   § 18 Codin. II 104 (p. 69, 12 B); Treu p. 10, 26 (Suid. s. v. Θεοδόσιος)

2 τῷ δὲ προσέρχεσθαι = ἐν τῷ δὲ πρ. E. Kurtz   3 σταυρὸν ἀργυρέμπλαστον P   καὶ ἐν τοῖς ἀκρωτηρίοις στρογγύλοις μῆλον Band. Globi extremis crucis partibus affixi ex argento erant   5 ἀνηγορεύθη P   ἐθεάσατα P   αὐτὸν ἐν τῷ οὐρανῷ ex Codino suppl. Lamb.   10 ὃ] ἔνθα Codin., οὗ Lamb.   11 ἕνα τῶν ὄπισθεν Lamb.   15 ὃ] οὗ P et Codin., correxi ex consuetudine auctoris cf. § 7, 26, 44a   16 ἱέραος οὐδὲ θανοῦσα P; corrigebam; Ἀφροδίτη est hominis nomen. Locum variis coniecturis tentant Lamb. et Comb. (Ἀφροδίτης Παρθένου ἱερά· οὐδὲ θανούσης χωρ. Alexis)   17 νομία P   18 προαναδεδ.] forma activa pro passiva, v. p. 30, 10; spectat ad p. 29, 5

ἔφιππος χαλκῆ· ἣν ἀνεγείρας πολλὰ σιτηρέσια τῇ πόλει προςέθηκεν.

19. *Αἱ δὲ ἐν τῷ Περιπάτῳ ἔφιπποι στῆλαι γένος Γρατιανοῦ ἅπαν καὶ Θεοδοσίου καὶ Οὐαλεντινιανοῦ· ἐξ αὐτῶν καὶ κυρτοῦ Φιρμιλλιανοῦ πρὸς γέλωτα γέγονεν· ὃ καὶ σώζεται ἕως τῆς σήμερον.*

20. *Τὸν δὲ Ξηρόλοφον πρώην θέαμά τινες ἐκαλοῦσαν· καὶ ἐν αὐτῷ γὰρ κοχλίδαι ις′ καὶ Ἄρτεμις, συνθετὴ στήλη, καὶ Σευήρου τοῦ κτίσαντος καὶ θεμάτιον τρίπουν. Ἔνθα καὶ θυσίαι πολλαὶ παρὰ τοῦ αὐτοῦ Σευήρου γεγόνασιν· ἔνθα καὶ χρησμοὶ πολλοὶ ἐν αὐτῷ τῷ τόπῳ γεγόνασιν· καθ' ὃν καὶ κόρη παρθένος ἐτύθη· καὶ ἀστρονομικὴ θέσις εἰς λς′ χρόνους διήρκεσε.*

21. *Τὸ δὲ Ἐξακιόνιν τὸ λεγόμενον ἔσχε ποτὲ πτῶκα καὶ κύνα καὶ Νεβρώδ παμμεγέθη, τὰ τρία ἀπὸ ἑνὸς σιδήρου· καὶ πολλὰ ἕτερα θεάματα ἐν αὐτῷ τῷ τόπῳ ἐσώζοντο. Ταῦτα Μαρκιανὸς παρέστειλε καὶ ἐν τοῖς τοῦ ἁγίου Μάμαντος μέρεσι προςέθηκε. Καὶ λουτρὸν δὲ ἦν εἰς μέγεθος, ἐν ᾧ καὶ πολλοὶ ἐκινδύνευον διὰ τὸ λέγειν μὴ δέξασθαι χρησμόν.*

---

§ 19 Codin. II 104a (deest in edd.); Treu p. 10, 29, Suid. s. v. *στήλη* et *Γρατιανός* (Cod. p. 53, 16 B), v. Beiträge zur Textg. p. 37   § 20 Cod. II 105 (p. 70, 1 B); Treu p. 11, 1, Suid. s. v. *Ξηρόλοφος* (Cod. p. 30, 1 B), v. Beiträge etc. p. 38

---

1 *ἐφ' ἵππον* P Tr. Suid.   *χαλκοῦ* P, corr. ex Tr. Suid.   4 *βαλεντινιανοῦ* P   *ἐξ αὐτοῦ* P, correxi ex Cod.   5 ὃ] ἢ Lamb., sed cf. p. 31, 10 et 15   6 *τῇ* P   7 *τὸ δὲ ξηρ.* P (cf. § 71)   *θέμα* Suid.   8 *κοχλίαι* Tr. Suid.; columnae Traiani et M. Aurelii in Notitia regionum Urbis Romae c. 8 et 9 'coclides' dicuntur   *ιβ′* P, *ις′* Codin. Tr. Suid.   9 *τίπουν* P   12 *καθ' ὃν καιρὸν καὶ* Suid.   13 *διαρκέσασα* Tr. Suid.   15 *ὑπὸ* P   19 *διὰ τὸ λέγειν* ⟨*τινὰς*⟩? p. 33, 5   20 *χρισμόν*? (*χρισμός* = *χρῖσμα*? multi ut ferunt periclitati sunt propter unctionem neglectam?)

22. Ἐν δὲ τῷ ἁγίῳ Μάμαντί ποτε ἵστατο γέφυρα φοβερὰ περὶ δώδεκα λόφους καὶ καμάρας ἔχουσα. Ποταμὸς γὰρ κατήρχετο ἐκεῖσε παμμεγέθης καὶ μάλιστα, ὡς ἔλεγον, τῷ Φεβρουαρίῳ μηνί. Ἔνθα καὶ δράκων ἵστατο χαλκοῦς παμμεγέθης διὰ τὸ λέγειν τινὰς δράκοντα κατοικεῖν ἐν τῷ γεφυρίῳ ἐκείνῳ· ἐν αὐτῷ οὖν πολλαὶ παρθένοι ἐτύθησαν καὶ προβάτων καὶ ὀρνέων πλήθη πολλὰ καὶ βοῶν. Βασιλίσκος γάρ τις ἐρασθεὶς τὸν τόπον, ὃς εἷς τῶν ἀπὸ Νουμεριανοῦ Καίσαρος ὑπῆρχε, κτίσας κατῴκησεν ἐν αὐτῷ· ἔνθα καὶ ναὸν παμμεγέθη τοῦ Διὸς ἤγειρεν. Ταῦτα δὲ Ζήνων ἐν τῷ δευτέρῳ τῆς βασιλείας καιρῷ παρέλυσε.

23. Ἐν τῷ Φόρῳ κάτωθεν τῆς μεγάλης στήλης ὑπάρχουσι σταυροὶ εἰς πλῆθος, τὸ σημεῖον τοῦ σταυροῦ τοῦ μεγάλου φέροντες· ἔνθα καὶ τῶν δύο λῃστῶν τῶν συσταυρωθέντων τῷ Χριστῷ ἐν αὐτῷ τῷ τόπῳ κεχωσμένοι εἰσὶν ἕως τῆς σήμερον· ἀλλὰ καὶ βίσσιον ὑελοῦν μύρου, ἐν ᾧ ὁ Χριστὸς ἠλείψατο, καὶ πολλὰ ἕτερα εἰς πλῆθος σημειοφορικὰ ὑποκάτω τοῦ Φόρου ὑπάρχουσιν, ⟨τεθέντα⟩ παρὰ Κωνσταντίνου τοῦ μεγάλου καὶ παρὰ Θεοδοσίου τοῦ μεγάλου ἀσφαλισθέντα, ἅτινα κατ' ὄνομα εἰς μῆκος τοῦ μνημονεῦσαι ἐξαγόμεθα.

24. Πολλὰ ἐν τῷ Στρατηγίῳ τῷ μεγάλῳ Κωνσταντῖνος

§ 22 Treu p. 11, 13, Suid. s. v. *Μάμας*; inde Codin. II 21 (p. 30, 14 B) § 23 Treu p. 11, 9 et Suid. s. v. *Φόρος* paucis omissis; inde Cod. II 20 (p. 30, 10 B)

1 *ἐν δὲ τοῦ ἁγίω* (sic) P 2 *μαρμάρας* P 7 *βασιλικὸς* P 8 *τοῦ τόπου* Tr. Suid. *εἰς τὸν* P *νουμερίου* P 11 *κατέλυσεν* Tr. Suid. 12 *ὅτι κάτωθεν τοῦ φόρου κεχωσμένοι ὑπάρχουσιν κτλ.* Tr. Suid. *στήλης*] *πύλης* P, corr. Lamb. 13 *ταυροὶ* P 15 *ἕως τῇ* P 16 *βηκίον* Tr., *βίκιον* Suid.; sed cf. Usener Acta Anastasii ind. s. v. *βίσσα* *ἐν ᾧ*] *ὃ* Tr. Suid. 18 *τεθέντα* inserui ex Tr. Suid.

ὁ μέγας ἠρέσκετο· ὅθεν καὶ νουμία Ἑλληνικὰ εἰς χάος † πλῆθος παρέδωκεν. Ὡς δὲ ἐγγράφως μὲν τοῦτο οὐχ εὕρομεν, παρὰ δὲ ἀνδρῶν τῶν ἐν πείρᾳ τῆς γραφῆς τυγχανόντων ἠκούσαμεν, ὅτι ἐν αὐτῷ τῷ Στρατηγίῳ καὶ χρυσὸς εἰς πλῆθος κατεχώσθη εἰς χάος πολύ. Καὶ οὐκ ἠπίστησα ἀκούσας, ὅτι [ἃ] καὶ ἡμεῖς καὶ οἱ πατέρες ἡμῶν ἐξέδωκαν ἡμῖν τὰ πλείω ἀγράφως καὶ οὐκ ἐγγράφως, ὡς ἴσασιν οἱ φιλομαθεῖς. Ἐν δὲ τῷ μικρῷ Στρατηγίῳ μόλιβδος πολὺς χρηματίζει, ἢ αὐτὸς ὁ μόλιβδος ἢ μολίβδου διάθεσις ἔγγραφος· ἀλλὰ καὶ χρυσίου καὶ ἀργυρίου διὰ μαρμαρ⟨ίν⟩ων γραφῶν ποίησις· τοῦτο δὲ ἐκ στίχων πινακιδίων μαρμαρίνων ἢ ἀναγνῶτες ἢ παρὰ τῶν ἀναγνωσάντων ἐρευνήσαντες ταῦτα γεγραφήκαμεν.

25. Ἐν δὲ τῷ ναῷ τοῦ ἁγίου Μηνᾶ ὄρυγμα εὑρέθη μέγα, ὅτε ἐκαθαίρετο, καὶ ὀστᾶ ἀνθρώπων γιγάντων εἰς πλῆθος, ἅτινα θεασάμενος ὁ βασιλεὺς ὁ Ἀναστάσιος καὶ ἐκπλαγεὶς ἐν τῇ Φόσσᾳ κατέθετο εἰς θαῦμα ἐξαίσιον.

26. Ἐν τῷ ναῷ τοῦ ἁγίου μάρτυρος Προκοπίου τοῦ

§ 25 Treu p. 11, 24, Suid. s. v. *Μηνᾶς*; inde Codin. II 22 (p. 31, 3 B) § 26 Treu p. 11, 29, Suid. s. v. *Προκόπιος*; inde Codin. II 23 (p. 31, 7 B)

2 ⟨*εἰς*⟩ *πλῆθος*? cf. lin. 4 et 15; pertinet ad *νουμία* Cf. Socrat. I 1, 1 *ὅσα ἢ ἐγγράφως εὕρομεν ἢ παρὰ τῶν ἱστορησάντων ἠκούσαμεν, διηγούμενοι* 3 *τῆς γραφῆς* secludit Alexis; sed *ἔγγραφον παράδοσιν* significare videtur 5 *ἠτίστησα* P 6 *ἃ* seclusi *ἡμεῖς* sc. *ἐκδιδοῦμεν τοῖς ἄλλοις* 9 *ἢ αὐτὸς . . ἢ μολίβδου* P, correxi (*καὶ αὐτὸς* Lamb.): aut plumbum ipsum aut compositio (?) plumbi litteris descripta? (*διάθεσις ἔγγρ.* idem significare videtur quod *ποίησις διὰ γραφῶν*) 10 *μαρμάρων* P, corrigebam 11 *ποίησισις* P *διὰ γραφῶν ποίησις χρυσίου καὶ ἀργυρίου*] fabricatio auri et argenti descripta in marmore *ἐκ στοιχείων*? *μαρμαρικῶν* P, correxi, cf. § 40 et 66 17 *ἐν τῇ Φόσσᾳ*] *εἰς τὸ παλάτιον* Tr. Suid., cf. § 73

ἐν τῇ Χελώνῃ στήλη ἵστατο εὐνούχου τινός, ἣ ἐν τῷ στήθει ἔγραφεν· ὁ μετατιθεὶς θεμάτια τῷ βρόχῳ παραδοθήτω. Ἦν δὲ ἡ στήλη Πλάτωνος κουβικουλαρίου, ὃς ἐν ταῖς ἡμέραις βασιλέως Βασιλίσκου πυρίκαυστος γέγονε. Τῶν δὲ γονέων αὐτοῦ αἰτησάντων τῷ βασιλεῖ στηλωθῆναι τὸν εὐνοῦχον Πλάτωνα εἰς μνημόσυνον τοῖς ἀνταίρουσι βασιλεῖ οὐκ ἐκώλυσεν. Ἐν δὲ τῷ ἀνακαινίζεσθαι τὸν τοῦ μάρτυρος ναὸν μετετέθη εἰς τὸ Ἱπποδρόμιον· οἱ δὲ οἶκοι τοῦ αὐτοῦ εὐνούχου σώζονται ἐν τῇ Χελώνῃ ἕως τῆς σήμερον.

27. Ἐκ τῶν Ἱμερίου χαρτουλαρίου † φράσις τῶν παρὰ Θεοδώρου, ὅτε παραγέγονεν ἐν τῷ Κυνηγίῳ θέας χάριν. Πολλὰ γὰρ ἡμῖν ἐμελέσθη περὶ τοῦ ἐρευνῆσαι ἀκριβῶς περὶ ὧν παρεκάλεσας καὶ φανερῶσαι τῇ σῇ ἀρετῇ, ὦ Φιλόκαλε.

28. Ἀπελθόντων ἡμῶν ποτε ἐν τῷ Κυνηγίῳ σὺν Ἱμερίῳ τῷ προλεχθέντι ἐνδόξῳ χαρτουλαρίῳ τὰς ἐκεῖσε ἱστορῆσαι εἰκόνας, ἐν οἷς εὕρομεν μίαν στήλην μικρὰν τῷ μήκει καὶ

§ 28 l. 15—p. 36, 6 et p. 36, 11—22 transscripsit Anon. Treu p. 12, 7 (Suid. s. v. *κυνήγιον*) paucis omissis et mutatis. Initio addit haec: *περὶ τῶν ἐν τῷ Κυνηγίῳ στηλῶν· ἐν τῷ Κυνηγίῳ τὸ πρότερον ἐρρίπτοντο οἱ βιοθάνατοι· ἦσαν δέ τινες ἐκεῖσε στῆλαι· καὶ ἀπελθὼν Θεόδωρος ὁ ἀναγνώστης μετὰ Ἰ. χαρτ. εἶδεν ἐκεῖσε στήλην μικρὰν κτλ.* (nihilo secius pergit *ἐμοῦ δὲ θαυμάζοντος κτλ.*). Inde Cod. II 24 (p. 31, 17 B)

5 *τῷ βασιλεῖ*] *αἰτεῖν τινι* etiam § 64, cf. Marci Diaconi indicem 6 *ἀντεροῦσι* P 9 Fini capitis ornamentum scriba adpinxit et inferiorem paginae partem vacuam reliquit 10 *ἐκ τῶν ⟨περὶ⟩ Ἱμερίου* Heisenberg *ἡμερίου* hic et rell. locis (l. 15, p. 36, 2 et 6) P *φράσις τῶν*] an (*ἐκ*)*φρασθέντων* vel (*ἐκ*)*φραστῶν*? *ἐκ τῶν Θεοδώρου ἀναγνώστου φράσις τῶν περὶ Ἱμερίου χαρτ. ὅτε κτλ* Lamb. 12 *ἐμελήθη* edd. 14 *Φιλόκαλε*] cf. § 28, 41, 42; nomen proprium esse mihi videtur (*φιλόκαλε* edd.) 17 *ἐν οἷς* sine vi relativa

πλατεῖαν καὶ παχεῖαν πάνυ. Ἐμοῦ δὲ θαυμάζοντος καὶ μὴ ἱστοροῦντος φησὶν ὁ Ἱμέριος· ‛θαύμαζε, ὅτι ὁ κτίσας τὸ Κυνήγιόν ἐστιν.’ Ἐμοῦ δὲ εἰπόντος ‛Μαξιμιανὸς ὁ κτίσας καὶ Ἀριστείδης ὁ καταμετρήσας’ παρευθὺ πεσεῖν τὴν στήλην ἐκ τοῦ ἐκεῖσε ὕψους οὗ τοσούτου ὑπάρχοντος καὶ δοῦναι τῷ Ἱμερίῳ καὶ παραυτὰ θανατῶσαι. Ἐμοῦ δὲ φοβηθέντος διὰ τὸ μὴ εἶναι ἕτερον ἐκεῖ ἢ μόνους τοὺς τοὺς ἡμιόνους ἡμῶν κατέχοντας καὶ αὐτοὺς ἔξω τῶν ἀναβαθμῶν ὑπάρχοντας δειλιάσας μὴ κινδυνεύσω σύρας τῷ δεξιῷ ποδί, ἔνθα τοὺς καταδίκους ῥίπτειν ἐπεχείρουν. Δειλιάσας δὲ τὸ ἄχθος ἀφήσας ἐν τῷ στόματι τοῦ ὄχθου ἀνεχώρησα πρόσφυγος γενόμενος ἐν τῇ μεγάλῃ ἐκκλησίᾳ· καὶ καταγγέλλων τὸ πραχθὲν ἐν ἀληθείᾳ οὐκ ἐπιστευόμην ἕως εἰς ὅρκου βεβαίωσιν ἐλθεῖν με διὰ τὸ τότε καὶ τοῦτο μόνον τηρῆσαί με τὸ κατόρθωμα. Οἱ οὖν οἰκεῖοι τοῦ τελευτήσαντος καὶ οἱ τοῦ βασιλέως φίλοι σὺν ἐμοὶ ἐπορεύθησαν ἐν τῷ τόπῳ καὶ πρὸ τοῦ τὸ πτῶμα τοῦ ἀνδρὸς προσεγγίσαι τὸ πτῶμα τῆς στήλης ἠτένιζον θαυμάζοντες. Ἰωάννης δέ τις φιλόσοφός φησιν, ὅτι ‛μὰ τὴν θείαν πρόνοιαν οὕτως εὑρίσκω ἐν τοῖς Δημοσθένους συγγράμμασιν ὑπὸ τούτου τοῦ ζωδίου ἀποκτανθῆναι ἔνδοξον ἄνδρα’. Ὃς καὶ παρευθὺ τῷ βασιλεῖ Φιλιππικῷ πληροφορήσας κελεύεται καταχῶσαι τὸ αὐτὸ ζώδιον ἐν τῷ αὐτῷ τόπῳ· ὃ καὶ γέγονεν διὰ τὸ μὴ δέχεσθαι κατάλυσιν. Ταῦτα, Φιλόκαλε, μετὰ ἀληθείας ἐρευνῶν εὔχου μὴ εἰςελθεῖν εἰς πειρασμὸν καὶ ταῖς ἀρχαίαις στήλαις καὶ μάλιστα ταῖς Ἑλληνικαῖς πρόςεχε θεωρῶν.

2 φησὶν Ἡμέριος καὶ αὐτὸς θαυμάζων, ὅστις ὁ κτίσας κτλ. Lamb. μὴ θαύμαζε cod. G Codini ex coniectura 3 μαξιμῖνος Tr. et Suid. 5 οὗ] οὐ? (οὐ τοσούτου ὑπάρχ. om. Tr. Suid.) 7 τοὺς τοὺς] cf. Usener Theodosios p. 173 sq. 14 ποτε P καὶ τοῦτο μόνον] cf. adn. p. 30, 6 16 τῷ πτώματι Lamb., sed cf. adn. p. 26, 11 20 ἀποκτανθῆναι] τεθνηξόμενον Tr. Suid. 22 τῶ αὐτῶ ζωδίω P 23 καταλύσεως P, corrigebam

Θεοδώρου ἀναγνώστου ἔτι συντομία γυναικῶν.

29. *Βερίνης γυναικὸς Λέοντος τοῦ μεγάλου πλησίον τοῦ ἁγίου Ἀγαθονίκου ἄνωθεν τῶν βάθρων ἐν κίονι χαλκῇ· ἔτι τῆς αὐτῆς ἐν τῷ Ἀνεμοδουρίῳ πρὸς νότον πλησίον τῆς ἁγίας Βαρβάρας. Ἀλλ' ἡ μὲν πρώτη ἐν τῷ ἁγίῳ Ἀγαθονίκῳ ἔτι τοῦ ἀνδρὸς αὐτῆς ζῶντος ἔστη· ἡ δὲ ἄνωθεν τῆς ἁγίας Βαρβάρας μετὰ τὴν τελευτὴν Λέοντος τοῦ ἀνδρὸς αὐτῆς καὶ φυγὴν Ζήνωνος τοῦ γαμβροῦ αὐτῆς, ὅτε Βασιλίσκον ἔστεψε τὸν ἀδελφὸν αὐτῆς κράζοντος τοῦ Πρασίνου μέρους· 'Βερίνης ὀρθοδόξου Ἑλένης πολλὰ τὰ ἔτη'· ἦν γὰρ ὀρθόδοξος πάνυ.*

30. *Εὐφημίας ⟨γυναικὸς⟩ Ἰουστίνου τοῦ Θρᾳκὸς ἐν τοῖς Ὀλυβρίου πλησίον τῆς ἁγίας Εὐφημίας, ἥτις ἐκκλησία ὑπ' αὐτῆς ἐκτίσθη, στήλη ἐν ἀναβάσει μικρὰ πάνυ χρυσέμβαφος ὑπάρχουσα.*

31. *Εὐδοξίας γυναικὸς Ἀρκαδίου μεγάλη πάνυ καὶ Πουλχερίας θυγατρὸς αὐτῆς καὶ ἑτέρων δύο θυγατέρων αὐτῆς, ἀμφοτέρων ἀργυραῖ· ἔτι τῆς αὐτῆς Εὐδοξίας ἐν κίονι χαλκῇ καὶ ἑτέρα ἐν τοῖς Αὐγουστείοις, δι' ἣν ὁ Χρυσόστομος ἐσκευάσθη.*

§ 29 l. 3—10: Treu p. 12, 26 sqq. (Suid. s. v. *Βηρίνα*): *Βηρίνης τῆς γυναικὸς τοῦ μεγ. Λ. δύο στῆλαί εἰσι· μία μὲν βορειοτέρα τοῦ ἁ. Ἀγαθ. μετὰ τὴν ἄνοδον τῶν ἀναβαθμῶν· ἑτέρα δὲ κατὰ τὸ μέρος τῆς ἁ. Βαρβ.· καὶ ἡ μὲν τοῦ ἁ. Ἀγαθ. γέγονε ζῶντος Λέοντος, τῆς δὲ ἁ. Βαρβ. μετὰ τελευτὴν αὐτοῦ, ἡνίκα Βασ. τὸν ἀδ. αὐτῆς ἔστεψε φυγόντος Ζήνωνος τοῦ γαμβροῦ αὐτῆς.* Inde Codin. II 25 (p. 33, 1 B) § 30 Treu p. 13, 1 (Suid. s. v. *Εὐφημία*): in brevius coactum; inde Codin. II 26 (p. 33, 8 B)

1 *ἔτι* = item *συντομία* = *ἱστορία σύντομος*? Exspectamus ⟨*στῆλαι*⟩ *ἐν συντόμῳ γυναικῶν* 3 *βερήνας* P 4 Post *κίονι* sive subaudias sive addas ⟨*στήλη ἐστὶ*⟩, cf. § 31 9 in voce *βασιλίσκον* P extremam litteram ex *σ* mutavit 10 *βερῖνας* P 12 *γυναικὸς* om. P 19 *αὐγουστίοις* P (*αὐγουσταίοις* Comb., *ἐν τῷ αὐγουστείῳ* Lamb.) Basis cum titulo huius statuae etiam exstat (CIG IV 8614 20 *ἐσκευάσθη*] in-

32. *Ἀρκαδίας γυναικὸς Ζήνωνος τῆς δευτέρας ἐν τοῖς πλησίον μέρεσιν τῶν βάθρων τῶν λεγομένων Τόπων ἐν τοῖς τοῦ ἁγίου Ἀρχιστρατήγου· ἔνθα Ζήνων ἔκρινε τοὺς μετὰ Βασιλίσκου καὶ σέκρητον τὸν τόπον πεποίηκεν. Ἔτι τῆς πρώτης αὐτοῦ γυναικὸς Ἀρεάδνης μετὰ καὶ αὐτοῦ Ζήνωνος ἐν τῇ βασιλικῇ πύλῃ.*

33. *Ἐν αὐτῇ τῇ Χαλκῇ πλησίον ἄνωθεν Πουλχερίας τῆς ἀοιδίμου, ὡς ἐν τῷ Περιπάτῳ ἐν τῷ παλατίῳ ἐμπρὸς ὑπάρχοντι.*

34. *Ἄνωθεν τῆς Χαλκῆς ἐν τῷ Μιλίῳ τῷ πρὸς ἀνατολὴν Κωνσταντίνου καὶ Ἑλένης ἄνωθεν τῆς καμάρας· ἔνθα καὶ σταυρὸς* ⟨*καὶ ἡ Τύχη*⟩ *μέσον τοῦ σταυροῦ τῆς πόλεως.*

35. *Ἐν τῷ αὐτῷ Μιλίῳ Σοφίας τῆς γυναικὸς Ἰουστίνου τοῦ μετὰ τὸν μέγιστον Ἰουστινιανὸν καὶ Ἀραβίας θυγατρὸς αὐτῆς καὶ Ἑλένης ἀνεψιᾶς Σοφίας εὐμορφοτάτης πάνυ κεχρυσωμένη.*

35a. *Ἀρκαδίου καὶ Θεοδοσίου υἱοῦ αὐτοῦ ἐν τοῖς πλησίον Θεοδοσίου στήλης τοῦ πατρός, ἀμφότεραι ἔφιπποι· ὅτε*

---

§ 32 Treu p. 13, 4 *περὶ τῆς Ἀρκαδίας εἰς Ἀρκαδιανάς* (Suid. s. v. *Ἀρκαδία*); inde Codin. II 27 (p. 33, 10 B) § 33 Treu p. 13, 10 (Suid. s. v. *Πουλχερία*); inde Cod. II 28 (p. 34, 1 B) § 34 Treu p. 13, 14 (Suid. s. v. *Μίλιον*): *ἐν τῇ καμάρᾳ τοῦ μιλίου στῆλαι Κωνστ. καὶ Ἑλένης· ἔνθα κτλ.*; inde Cod. II 29 (p. 35, 3 B) § 35 Treu p. 13, 17 (Suid. s. v. *Μίλιον*): paucis discrepant, v. infra; inde Codin. II 30 (p. 35, 11 B) § 35a l. 1 et 2 Treu p. 13, 20 (Suid. s. v. *Μίλιον*); inde Cod. II 38 (p. 38, 10 B)

---

sidiis vexatus est; cf. Cramer Anecd. II 110, 94, Ps.-Polyd. p. 166 et 170 Bianc.; eodem sensu usurpatur *συσκευάζειν* ab Malala; *σκευή* = insidiae Theophan. 4 *βασιλίσκου* P (cf. p. 26, 6) 8 *ὡς πρὸς τὸν περίπατον τὸν ἐν τῷ παλατίῳ* Tr., *πλησίον τοῦ παλατίου ὡς πρὸς τὸν περίπατον* Suid. 12 ante *μέσον* in P est rasura 7--8 litterarum; supplevi ex Tr. (*'καὶ ἡ τύχη τῆς πόλεως μέσον τοῦ σταυροῦ'*) 18 *στήλη* P (*πλησίον τῆς στήλης Θεοδ. τοῦ μεγ* Tr.) *ἐφ' ἵπποις* P Treu; corr. ex Suid., cf. § 19. 80

καὶ σιτηρέσια ἐδόθη πολλά, ἐξαιρέτως δὲ τῷ Πρασίνῳ μέρει κράζοντος τοῦ δήμου· 'Ὁ γόνος Θεοδοσίου Κωνσταντῖνον ἐνίκησεν'.

36. Ἐν τῷ παλατίῳ τῷ τριβουναλίῳ Εὐδοκίας γυναικὸς Θεοδοσίου, τοῦ ἔγγονος Θεοδοσίου, Μαρκιανοῦ τε καὶ Κωνσταντίνου· ἔνθα καὶ ὀρχήσεις πλεῖσται ἕως Ἡρακλείου τοῦ τε Πρασίνου καὶ Βενέτου μέρους γεγόνασιν.

Περὶ θεαμάτων. Bekker p. 166

37. Θέαμα α'. Τὸ ἐν τῇ Βασιλικῇ † σειρᾷ τῇ χρυσορόφῳ ἀνδρείκελον ἄγαλμα ὑπάρχον χρυσέμβαφον (ἔνθα τὸ

§ 36 Treu p. 13, 23 (Suid. s. v. στήλη): paucis discrepant, v. infra; inde Cod. II 32 (p. 36, 12 B) § 37 l. 9 -p. 41, 13: Treu p. 13, 28 sqq. (Suid. s. v. Βασιλική) non paucis discrepans: Τῷ (an Ἐν τῷ?) ἐν τῇ Βασιλικῇ χρυσορόφῳ ὀπίσω τοῦ Μιλίου ἦν ἀνδροείκελον ἄγ. χρυσέμβαφον· ἔνθα ἦν τὸ ἔξαμμον (ἕως add. Suid.) Ἡρακλείου τοῦ βασ.· καὶ γονυκλινὴς Ἰουστινιανοῦ τοῦ τυράννου· ἐκεῖ ὁ Τέρβ. ἐδημηγόρησεν. Ἐν οἷς ἐλέφας ἵστατο παμμεγέθης, ὑπὸ Σευήρου κατεσκευασμένος. Ὅρος δὲ ἦν πρὸ τοῦ μέρους τῶν ἀναβαθμῶν, ἔνθα καὶ σχολὴ φυλ. ὑπῆρχεν (σχολὴ φυλ. πολλή· Suid.) ἔμενε δὲ ἐκεῖσε ἀργυροκόπος ἐν πλαστοῖς ζυγοῖς τὴν πρᾶσιν ποιούμενος. Καὶ τοῦ οἰκήματος αὐτοῦ πορθουμένου ἠπείλει τῷ τὸν ἐλ. φυλάττοντι θάνατον, εἰ μὴ τοῦτο κρατήσει. Ὁ δὲ θηροκόμος οὐκ ἐνεδίδου. Ὃν φονεύσας ὁ ζυγοπλ. δέδωκε βορὰν τῷ ἐλέφαντι. Τὸ δὲ θηρίον ἀπιθ. ὃν καὶ αὐτὸν ἀνεῖλε. Καὶ ὁ Σευῆρος ἀκούσας τῷ θηρίῳ θυσίας ἤνεγκεν. Ἐν αὐτῷ δὲ τῷ τόπῳ παρευθὺ καὶ ἀνετυπώθησαν τό τε θηρίον καὶ ὁ θηροκόμος. Ἔνθα καὶ

1 an ἐδόθησαν secundum consuetudinem auctoris? πρασίνων P 2 ἔγγονος Comb. Κωνσταντίνου P 4 ἐν τῷ τριβουναλίῳ τοῦ παλατίου Tr. Suid.; sed cf. § 15 ἐν τῷ Φόρῳ τῷ δεξιῷ μέρει, § 44b, 48, 54 5 τοῦ ἐγγόνος P ἐγγόνου edd., sed cf. de Boor ind. Theophan.), om. Tr. et Suid., qui eius loco καὶ αὐτοῦ praebent, ut quattuor statuae sint 6 πλείσταις P 9 σειρᾶ τῆς χρυσορούφου P, κιστέρνῃ τῇ χρυσορόφῳ Lamb., τῇ χρυσορ. (σειρᾷ secl.) Comb., cf. p. 40, 6 et 14. An ἐν τῇ βασ. στοᾷ τῇ χρυσορ.? (cf. Procop. hist. arc. 14 p. 90, 3 Bonn. et infra p. 40, 16) 10 ἀνδρείκελον] § 64 ἀνδροείκελον

ἔξαμον Ἡρακλείου τοῦ βασιλέως κατεσκευάσθη), τὸ γονυκλινὲς, Ἰουστινιανοῦ ἐστὶ κατὰ τὸ δεύτερον ⟨αὐ⟩τοῦ τὴν Κωνσταντινούπολιν τυραννήσαντος, καὶ πλησίον αὐτοῦ τῆς γυναικὸς αὐτοῦ, ἀδελφῆς Ἰβουζήρου Γλιαβάνου, μετὰ τὴν ἧτταν Τι-
B 167 βερίου τοῦ Ἀψιμάρου· ὅτε καὶ Φιλιππικὸς ἐν αὐτῷ τῷ τόπῳ τῆς χρυσορόφου Βασιλικῆς ἀπεδοκιμάσθη, Τερβέλι τοῦ Βουλγαρίας ἐκεῖσε πολλάκις καθίσαντος καὶ Γλιαβάνου Χαζάρι· πάκτα οὖν οὐκ ὀλίγα ἐκεῖσε ἐδόθησαν, ἔνθα αὐτοῦ τοῦ τυράννου καὶ τῆς γυναικὸς τὰ ἀγάλματα. Ἐν οἷς ἐλέφας ἵσταται παμμεγέθης· ὡς οἱ θηριοδεῖκται ἡμῖν ἐβεβαίωσαν, μὴ γίνεσθαι ἐπάνω αὐτοῦ τὸ μέγεθος τῶν ἐλεφάντων, τῶν δὲ μεγάλων ἕως οὕτως. Οὗτος ὁ ἐλέφας ὑπὸ Σευήρου τοῦ Κάρου Ἕλληνος ἐτυπώθη θέαμά τι κατὰ τὴν παράδοσιν. Ἐν γὰρ τῇ αὐτῇ χρυσορόφῳ Βασιλικῇ τὸν ἐλέφαντα παραμένειν εἰς θέαμα ἐξαίσιον· ὅρον γὰρ εἶναι πρὸ τοῦ μέρους τῶν ἀναβαθμῶν τῶν οβʹ ἔλεγον· ἔνθα καὶ σχολὴ φυλαττόντων πολλή. Ἐν αὐτῷ δέ φασι τῷ ἐλέφαντι παραμένειν τῷ τόπῳ ἐκείνῳ Καρκινήλου ἀργυροκόπου ἐν πλαστοῖς ζυγοῖς·

Ἡρ. ἐλατρεύθη πολλὰς θυσίας δεξάμενος, ὃς ἐν τῷ Ἱπποδρομίῳ μετετέθη. Ἐπὶ δὲ Ἰουλιανοῦ ὑπατικοῦ ἀπὸ Ῥώμης ἦλθεν ἐπὶ τὸ Βυζάντιον καὶ εἰσήχθη ἐν ἀπήνῃ καὶ νηὶ καὶ στηλῶν (sic) ιʹ. Inde Codin. II 41 (p. 39, 5 B)

1 ἔξαμμον Tr., cf. p. 28, 13 ἕως Ἡρακλείου Suid. (cf. supra p. 39, 6) 2 κατὰ] μετὰ P, τοῦ κατὰ τὸ δεύτερον τὴν κτλ. Comb. τοῦ P, corrigebam 4 ἠβουζήρου γλιαβάνου P (v. l. 7), Βουσήρου vel Βουζήρου edd. (nomen Βουζηνός anno 1401 occurrit in Actis et Diplom. ed. Müller et Miklosich II 493) 5 τοῦ] υἱοῦ P, corr. Lamb. 6 τερβελλ P, correxi 7 γλιαβάρου P 9 ἐλέφαος P 10 θηριοδίκται P (θηριοδέκται edd.); cf. Du Cange gloss. lat. s. v., C. Gl. Lat. III 272, 5: 'θηριοδήκτης marsus' 12 σεβήρου P 13 καροῦ P, cf. § 57 θεάματι P, corr. Lamb.; an ⟨εἰς⟩ θέαμά τι coll. p. 41, 11? 15 φόρον Comb. προτου P, πρώτου Lamb. et Comb., πρὸς τοῦ Band., cf. Treu 17 πολλὴ] πόλιν Lamb. Ἐν αὐτῷ δὲ κτλ.] eodem loco atque elephantus 18 καρκινήλω ἀργυροκόπω P, correxi coll. Tr. πλατὺς P

ὥστε ⟨τῷ⟩ διατρέφοντι τὸν ἐλέφαντα, φασίν, ⟨θάνατον⟩ ἀπειλεῖν, ὅτι κατεπορθεῖτο τούτου τὸ οἴκημα· καὶ πολλάκις διαβεβαιωσαμένου θάνατον τῷ θηριοτρόφῳ, εἰ μὴ τοῦτον κρατήσει· αὐτὸς δὲ διὰ † τὰς βαγύλας ἐλαιοφόρους κρατῆσαι οὐκ ἐνεδίδου· ὃν καὶ φονεύσας ὁ αὐτὸς ζυγοπλάστης τῷ ἐλέφαντι εἰς βρῶσιν προέθηκε· τοῦ δὲ θηρίου ἀτιθάσου ὄντος, καὶ αὐτὸν ἐξανήλωσεν. Ὃ καὶ Σευῆρος ἀκούσας θυσίας τῷ θηρίῳ οὐκ ὀλίγας προσήνεγκεν. Ἐν αὐτῷ γὰρ τῷ τόπῳ παρευθὺ καὶ ἀπετυπώθησαν. Ἔνθα καὶ Ἡρακλῆς ἐλατρεύθη παμπόλλας θυσίας δεξάμενος· καὶ ἐν τῷ Ἱπποδρομίῳ μετετέθη εἰς θέαμά τι μέγιστον· τὸ δὲ πρότερον ἀπὸ Ῥώμης B 168 ἐπὶ Ἰουλιανοῦ ὑπατικοῦ ἐπὶ τὸ Βυζάντιον εἰσήχθη μετὰ καρούχας καὶ νηὸς καὶ στηλῶν δώδεκα. Αὕτη φησὶν ἡ ἱστορία τοῦ θεάματος Σευήρου ἡ ξένη γέγονεν ἐπὶ Ἀνθίμου ὑπάτου· οὗτινος τὰ Ἀνθίμου κατὰ τὴν κέλευσιν Νουζαμήτου ὑπάρχου, τοῦ ἀπὸ Περσῶν, ἀντὶ πάκτων ἐχρηματίσθησαν, ἐν ταῖς ἡμέραις Βύζα καὶ Ἄντη· ὃ καὶ ἕως τῆς σήμερον τοῖς φιλοσοφοῦσιν ἐν πείρᾳ προτέθειται θέαμα.

38. *Θέαμα β'. Τοῦ ἐν τῷ ὡρέῳ Μιλίῳ Ἡλίου.* Ἐν τῷ ὡρέῳ Μιλίῳ Ἡλίου Διὸς ἅρμα ἐν τέτρασιν ἵπποις

§ 38 Treu p. 14, 15 sqq. (Suid. s. v. *Μίλιον*): *Ὅτι ἅρμα ἡλίου ἐν δ' ἵπποις πυρ.* ἱστάμενον (*ἱπτάμενον* Suid.) *παρὰ δύο στ. ἐκ παλ. τῶν χρ. ὑπῆρχεν ἐν τῷ ὡραίῳ μιλίῳ· ἔνθα εὐφη-*

1 *τῷ* suppl. Lamb. *τῷ ἐλέφαντι* P ⟨*θάνατον*⟩ suppl. ex Anon. Treu 2 *ὅτε?* *κατεπορθήτω* P (*καὶ ἐπορθεῖτο* Comb.) 3 *τοῦτο* P Tr. 4 *διὰ τοὺς βαιούλους ἐλαιοφόρους* Lamb. (qui conf.); locum non expedio (*ἐν λεωφόροις?*) 7 *σεβῆρος* P 13 *ταύτη* P *φασὶν* edd., sed cf. Malal. ind. s. v. *φημὶ* et § 68 15 *ἀνθιμίου* (*ἀνθίμου* l. 14) P. Dubium utrum Anthimus an Anthemius nominatus sit consul ille ficticius. 16 Post *ὑπάρχου* addunt edd. '*τῆς πόλεως*' nullo nixi testimonio 17 *ἀντί* P. Byzas et Antes (cf. infra p. 42, 3 et 48, 5) heroes ex nomine urbis *Βυζ-άντιον* ficti *ὃν* P 18 *προτέθηνται* P 20 *τῶν ἐν τῷ ὡρέῳ* (paulo post *ὡραίῳ* P) *μιλίῳ ἡλίᾳ* P, corr. Lamb.

πυρίνοις, ἱπτάμενον παρὰ δύο στηλῶν, ἐκ παλαιῶν χρόνων ὑπάρχον· ἔνθα Κωνσταντῖνος ὁ μέγας εὐφημίσθη μετὰ τὸ νικῆσαι Ἀζώτιον καὶ Βύζαν καὶ Ἄντην, κράζοντος τοῦ Βενέτου μέρους

'εἷλες παλίνορσον ἱμάσθλην,
ὡς δὲ δὶς ἡβήσας μαίνεαι ἐν σταδίῳ',

τοῦ δὲ Πρασίνου μέρους λέγοντος 'οὐ χρήζομέν σε, λωβέ· οἱ θεοὶ ἀνώτεροι αὐτοῦ εἷλον'· τοῦ δὲ Ἡλίου ἅρματος κατενεχθέντος ἐν τῷ Ἱπποδρομίῳ, δορυφορούμενον εἰςῄει στηλίδιον καινόν, παρὰ Κωνσταντίνου κατασκευασθέν, ὑπὸ Ἡλίου φερόμενον, Τύχη πόλεως· ἐν βραβείοις πλείστοις εἰς τὸ στάμα εἰςῄει καὶ ἔλαβεν ἆθλα παρὰ τοῦ βασιλέως Κωνσταντίνου,
B 169 καὶ στεφανωθὲν ἐξῄει | καὶ ἐτίθετο ἐν τῷ Σινάτῳ ἕως τῶν ⟨ἐπιόντων⟩ γενεθλίων τῆς πόλεως. Ὑπὸ δὲ Ἰουλιανοῦ διὰ τὸν χαραχθέντα σταυρὸν ἐν αὐτῷ, βοθύνῳ, ὅπου τὰ πλεῖστα θεάματα, καὶ αὐτὸ παρεδόθη. Τοῖς δὲ πίναξιν ἐάν τις ἐρευνήσει ἀκριβῶς τοῦ Φόρου, ἐπὶ πλεῖον θαυμάσοι.

μίσθη Κωνσταντῖνος μετὰ τὸ νικῆσαι Ἀζώτιον· ἐπειδὴ καὶ Βύζας ἐκεῖσε εὐφημίσθη· κατενεχθὲν δὲ τὸ ἅρμα ἐν τῷ ἱπποδρ., δορυφορ. στηλ. καινὸν παρὰ Κ. κατασκ. ὑπὸ ἡ. φερ., Τύχη πόλεως εἰς τὸ στάμα εἰςῄει καὶ στεφανωθὲν ἐξῄει· ἐτίθετο δὲ ἐν τῷ σεν. ἕως τῶν ἐπιόντων γεν. τῆς π.· διότι δὲ ἐπὶ κεφαλῆς αὐτοῦ σταυρὸν ἐχάραξεν Κωνσταντῖνος, Ἰουλιανὸς αὐτὸ βοθύνῳ κατέχωσεν. Inde Codin. II 42 (p. 40, 1 B)

---

1 *ἱπτάμενον* P et Suid., *ἱστάμενον* Treu; neutrum placet, exspectamus *βασταζόμενον* (cf. p. 26, 9) 2 *ὑπάρχων* P *μετὰ τῶν ἐκεῖσε* P 5 sq. Anthol. Pal. XV 44, 5: *δήμου μὲν βοόωντος εἷλες κτλ.* Est epigramma monumenti positi in honorem Porphyrii aurigae; quod monumentum inferioris aetatis fabulatores ad Constantini Magni victoriam rettulisse videntur *παλίνορσον καὶ ἱμάσθλην* P 6 *μαίνε* P *σταδίοις* Anth. 8 *αὐτοῦ εἷλεν* P. *αὐτοὺς εἷλον?* 11 *βραβεῖον* 'insigne honoris' Reiske ind. Const. Porphyr. de caer. 13 *σηνάτω* P 14 *ἐπιόντων* om P 15 *βυθίνω* P

39. *Θέαμα γʹ. Τῶν ἐν τῷ Φόρῳ.* Βαλμασὰ κεντυρίων φίλος εἰδώλων πάνυ κατέαξε τὸ εἴλημα τοῦ † πύρου ὡρολογίου, θέας χάριν, ὡς ἔλεγεν· ὡς δὲ ἐν τῷ δοκεῖν μᾶλλον, ἕνεκα τοῦ κλέμματος· καὶ τοῦτο ποιήσαντος, ἔκλεψε τὸ Παλλάδος εἴδωλον ἀργυροῦν. Καὶ τὰ βαλάντια Ἀσκληπιοδώρου εὑρέθησαν τῶν τριῶν λιτρῶν καὶ ἡ κορωνὶς Κλεοπάτρης, κατασκευασθεῖσα σμαράγδινος πάνυ ἀλάβαστρος. Τοῦτο γνοὺς ὁ βασιλεὺς Κωνσταντῖνος τῷ αὐτῷ κεντυρίωνι Βαλμασὰ ἐπετίμησεν ἄξιον θανάτου. Τοῦ δὲ ἀναισχυντοῦντος καὶ θεοὺς ἐπικαλουμένου, ἀπετμήθη εἰς ἓν τῶν σκαλίων τοῦ αὐτοῦ Φόρου, ἔνθα τὰ ἄριστα τὰ πρῶτα ὑπῆρχον. Τὸ δὲ ἐν τῇ δευτέρᾳ καμάρᾳ γεγονὸς ἄθεσμον οὐ σιωπήσωμεν· τὸ τοῦ μοιχοῦ Μαξεντίου εἴδωλον ἐκεῖσε προσεκυνεῖτο λατρευόμενον, καὶ τοῖς πολλοῖς εἰδωλολάτραις ἀγνοούμενον θεὸς ἱππόσυνος ἐλατρεύετο· διὸ Κωνσταντῖνος αὐτὸ μὲν κατέβαλε, τοὺς δὲ τοῦτο τολμήσαντας ξίφει ἀπεκεφάλισεν. Ἔνθα καὶ Ἄρειος μετὰ ταῦτα τὸν μιαρὸν θάνατον ὑπέστη, χείρονα Ἑλλήνων βλασφημῆσαι ἀποτολμήσας ὁ δείλαιος. μετὰ λιτῆς B 170 καὶ τιμῆς ὁ ἄθλιος τὸν θρόνον Κωνσταντινουπόλεως βασι-

§ 39 Exiguam partem (l. 16 sqq.) exhibet Anon. Treu p. 14, 26 sqq.: Ἔνθα Ἄρειος τὸν αἴσχιστον ὑπέστη θάνατον· ἀπὸ τῆς καμάρας ὡσεὶ κθʹ παλαιστὰς ἐτυπώθη ὑπὸ τοῦ θεοφιλοῦς Θεοδοσίου Ἄρειος ἐν μαρμάρῳ (μαρμαρίνῳ?) ἀναγλύφῳ γειτνιῶντι τῇ γῇ καὶ σὺν τῇ τοῦ Ἀρείου τοῦ Σ. Μ. Εὐ. πρὸς αἰσχύνην αὐτῶν, ὡς ἂν οἱ παρερχόμενοι κόπρον καὶ οὖρα καὶ ἐμπτύσματα ἐπιρρίπτωσιν αὐτοῖς. Inde Codin. II 43 (p. 40, 10 B)

2 φόρου Lamb., an πύργου τοῦ? 4 ἕνεκα] Lamb., ἕως P ποιήσας Lamb. 5 παλάδης P, corr. Lamb. 6 ἡ κορωνὶ εκλεοπάτρις P, corr. Lamb. Κλεοπ.] Cleopatra regina in alchymistarum numero erat; v. Berthelot Coll. des anc. alch. II ind. 7 σμαρ. πάνυ ⟨καὶ⟩ ἀλαβάστρινος? 8 τὸν αὐτὸν κεντυρίωνα Lamb. 12 σιωπήσομεν edd. 14 sq. non sanus locus esse videtur; an ἀγνοούμενος = ἄγνωστος? (Maxentii statua ut ignotus deus eques colebatur?) 16 sq. τοῦ τολμήσαντας P 17 μορὸν P, corr. Lamb. 18 ἀποτολμήσαι P

λικῇ χειρὶ καθαρπάσαι βουλόμενος. Ἀλλ' οὐκ Ἀλέξανδρος ὁ πολὺς ἐν θεογνωσίᾳ τοῦτο παρεσ . . . . ἕως τῷ ὀλεθρίῳ θανάτῳ τοῦτον παρέδωκεν. Ἐν αὐτῷ οὖν τῷ τόπῳ τῷ ἀπὸ τῆς καμάρας ἕως κθ' παλαιστὰς ἔχοντι ἐπὶ Θεοφιλοῦς Θεοδοσίου ἀπετυπώθη Ἄρειος ἐν μαρμάρῳ συγγειτνιῶντι τῇ γῇ, καὶ σὺν αὐτῷ Σαβέλλιος, Μακεδόνιος, Εὐνόμιος, πρὸς αἰσχύνην τοῖς διερχομένοις † σφετερίζειν τούτοις καὶ κόπρους καὶ οὖρα καὶ ἐμπτύσματα καὶ ἀτιμίαις ὀνειδίζεσθαι τοὺς τὸν τοῦ θεοῦ υἱὸν ἀτιμάσαντας. Ἅτινα καὶ καθορῶνται σῶα ἕως τῆς σήμερον τοῖς τὰ γεγραμμένα παρ' ἡμῶν μετὰ φιλοσοφίας καὶ πόνου διερευνῶσιν.

40. Θέαμα δ', τὸ ἐν τοῖς Ἀρτοπωλίοις † πύροις ὑπάρχον. Κυνάριον ἀπὸ μαρμάρου, οὔθατα πλεῖστα † ἐν τῇ νεμέσει περιφέρον ὡσεὶ κ' [ουθ' μυρμήκοι] † λατρεύειν . . . χείρουν, τοῖς θεωρεῖν κατὰ πᾶν ἐθέλουσιν τοῖς πᾶσι . . .

§ 40 l. 12—p. 45, 5 et p. 45, 10 sqq. = Treu p. 15, 1 sqq.: Ἐν τοῖς Ἀρτοπωλίοις κυνάριόν ἐστιν, οὔθατα ἕως τῶν κ φέρον· ταῶνες δὲ καὶ ἀετοὶ καὶ λέαιναι λαγωοί τε καὶ κριῶν κάραι καὶ στρουθῶν καὶ κορωνῶν καὶ τρυγόνος μιᾶς καὶ γαλέας καὶ δαμά-

1 καταρπάσαι P 2 in P lacuna 5—6 litterarum, παρέσχεν Lamb., exspectamus παρέβλεψεν, παρεχώρησεν simile 3 τοῦτο P 4 ἕως] cf. § 59 ἕως λ' (στήλας), Treu p. 15, 2 ἔχων P 7 ⟨ὥστε⟩ τοὺς διερχ. ἐφεδρίζειν τούτοις καὶ κόπρῳ καὶ οὔρῳ καὶ ἐμπτύσματι Lamb.; an τοὺς διερχομένους ἐπιρριπίζειν (cf. Tr.) τούτοις καὶ κόπρους κτλ.? κόπροις P 12 ἀρτοπωλέοις πύροις P, an πυροῖς? (πυροὶ = horreum triticarium?) cf. p. 45, 6; φόροις Comb. 13 κιονάριον Lamb. qui statuam Naturae innumeris mammis et animalium capitibus circumdatam esse putat ἀφ' μαρμάρου P ἐν τῇ νεμέσει P, non expedio (ἐν . . μέσῃ?) 14 ὡς εἰκονθ' μυρμήκοι λατρεύειν . . . χείρουν P (ante χείρουν lacuna trium litterarum); ὡσεὶ μυρμήκια (verrucas), λατρεύειν ἐπιχειροῦν vel ὡσεὶ τέκνοις μυρίοις δαιτρεύειν ἐπιχειροῦν Lamb. Initio certe legendum coll. Tr.: ὡσεὶ κ'; ουθ' μυρμήκοι glossa esse videtur ad οὔθατα ex margine in textum transposita (οὔθατα μυρμήκια). Reliqua non expedio (⟨ὃ⟩ λατρεύειν ἐπεχείρουν?) Neque quae sequuntur verba mendo carere videntur

προέκειτο· ταοῦ δὲ καὶ ἀετοῦ καὶ λεαίνης λαγωοῦ τε καὶ κριῶν κάραι, καὶ στρουθῶν καὶ κορωνῶν καὶ τρυγόνος μιᾶς καὶ γαλέας καὶ δαμαλίδες † ἐμαοῦσαι καὶ Γοργονίδες δύο, ἀμφότεραι ἐκ δεξιῶν καὶ ἐξ εὐωνύμων, ἡ μία τῇ ἑτέρᾳ κατ' ὄψιν βλέπουσα, ἀπὸ μαρμάρων ἀναγεγλυμμέναι † τὰ φυραθέντα κάτω τῶν αὐτῶν † πυρῶν ἤτοι Ἀρτοπωλίων θέας τοὕνεκεν, Κωνσταντίνου δρᾶμα. Ἀλλὰ καὶ Βούλγαρος ὑπὲρ βοὸς † κατάρκαος ὑπάρχων, ὡς τῇ γῇ διορύττειν ἐθέλων, B 171 *τοῖς ὁρῶσι θέαμά τι μέγιστον. Διέκειτο δὲ τοῦτο ἕως ⟨ἐ⟩τῶν πολλῶν καὶ μέχρι Ζήνωνος ἀρκέσαι τὴν ἱστορίαν. Γαληνὸς δέ τις ἰατρὸς καὶ φιλόσοφος ὑπάρχων, ὡς αὐτὸς ἐδίδαξεν ἀπὸ χρονογράφων, ⟨ἐκεῖσε⟩ πειραιωθεὶς ἐβεβαιώθη, τὰς Γοργονίδας τὰς μαρμαρίνους, ἅτε τὴν μίαν ἐκ δεξιῶν, ἅτε δὲ καὶ τὴν ἐξ εὐωνύμων, ἱερογλυφικά τινα καὶ ἀστρονομικὰ ἐχίδνια συλλαβούσας, τῶν βασιλέων γράφειν τὰς ἱστορίας,*

λεως καὶ γοργόνες δύο, μία ἐκ δεξιῶν καὶ ἡ ἑτέρα ἐξ εὐωνύμων, ἡ μία τῇ ἑτέρᾳ κατόψιν βλεπόμεναι, ἀπὸ μαρμάρων γεγλυμμέναι· ἵσταντο μέχρι Ζήνωνος. Γαληνὸς δέ τις, ἰατρὸς καὶ φιλ. ὑπ., ἐκεῖσε πειραιωθεὶς τὰς Γοργόνας ἔλεγεν ἱερογλ. καὶ ἀστρ. ὄντα τῶν βασιλέων γράφειν τὰς ἱστορίας, Κωνστ. τοῦ μεγ. τυπώσαντος· τοῦ δὲ αὐτοῦ Γ. ἐπὶ πλεῖστον συχνάσαντος καὶ τοῖς ἀναγν. προσέχ., τὰ μέλλοντα συμβαίνειν Ζήνωνι παρὰ Βηρίνης καὶ γελάσαντος, Καλλ. τις συρφετὸς τῷ γένει, κάπ. δὲ τῇ τέχνῃ, μετὰ τὴν ἐπάνοδον Ζήνωνος διαβάλλει εἰς αὐτὸν τὸν Γαληνόν· ὁ δὲ Ζήνων τοῦτον ἀνῃρήκει. Inde Codin. II 46 (p. 41, 14 B)

---

1 *πρόκειτο* P 3 *γάλας* P, *καὶ μυὸς καὶ γαλῆς* Lamb. *ἐμαοῦσαι*] an *ε' μυκοῦσαι* (= *μυκώμεναι*)? 5 *ἀναγεγλυμμένων* P, corr. Lamb. *τὰ φυραθέντα*] exspectamus *ἀσφαλισθέντα*, *στοιχειωθέντα* simile 6 *πόρων* Lamb., cf. p. 14, 12 7 *βούλαρος* P, corr. Lamb., cui adversatur Comb., nomen proprium *Βούλαρον* esse ratus 8 *καθαρὸς* Band., an *ὑπὲρ* (*ἐπὶ*?) *βοὸς καὶ ἀρότρου ὑπάρχων*; cf. statuas Reinach Répertoire II 556 *ἐθέλειν* P, correxi 9 *τῶν* P, correxi 15 *συλλαβῶν* P, corr. Comb., i. e. anguibus cinctas, v. indicem s. v. Genera verbi. Erant igitur *βασιλογράφια*, qualia tradunt non-

Κωνσταντίνου τοῦ μεγάλου τοῦτο ποιήσαντος. <Τοῦ δὲ αὐτοῦ Γαληνοῦ ἐπὶ πλεῖστον συχνάσαντος> καὶ τοῖς ἀναγνώσμασιν τούτου προσέχοντος, τὰ μέλλοντα συμβαίνειν Ζήνωνι παρὰ Βερίνης προσέχων ἐγέλασε. Καλλίστρατος δέ τις, συρφετὸς μὲν τῷ γένει, κάπηλος δὲ τῇ ἀξίᾳ, ἐμβατεύοντι τῇ ἱστορίᾳ τῶν Γοργονίδων Γαληνῷ καὶ μάλιστα συχνῶς μετὰ τὴν ἀνάκαμψιν Ζήνωνος τὴν ἀπὸ Ἰσαυρίας τὸ δεύτερον — φατριασθεὶς ὁ αὐτὸς Γαληνὸς παρὰ τοῦ αὐτοῦ Καλλιστράτου τοσούτους ἐμπαιγμοὺς ἐπ' ἐνιαυτοῦ καὶ βολίδας ὑπέμεινεν, ὥστε μέχρι τέλους [τὸ πέρας] ἐν τῇ αὐτῇ Ἀρτοπωλίων καλενδίᾳ, ἐν αὐτοῖς τοῖς ζωδιακοῖς τετραπόδοις καὶ πετεινοῖς, σελεντίου ὑπάρχοντος ξίφει ἀποκεφαλισθῆναι, κράξαντος τοῦ Πρασίνου μέρους καὶ τοῦ ὄχλου 'δικαία ἡ κρίσις'. Ἀριστείδης δὲ φιλόσοφος ἐπέθηκεν ὄνομα τῷ τόπῳ τοιόνδε, ὃ καὶ φαίνεται ἕως τῆς σήμερον, 'Γαληνοῦ θηρία, ἀδικία † νενομένω Ζήνωνι'. Καὶ τυπώσας τὴν γραφίδα ἀπέδρα ἐν Χερσῶνι, καὶ ἐσώθη ἕως τῆς σήμερον.

B 172 **41.** | Θέαμα ε'. Τὸ ἐν τοῖς Ἀμαστριανοῦ. Καρακάλλου τοῦ πραιποσίτου θεαμάτιον ἤτοι εἰδωλεῖον τῆς Βυ-

§ 41 Pauca decerpsit Anon. Treu p. 15, 18 sqq.: *Περὶ τοῦ Ἀμαστριανοῦ. Ζεὺς ἥλιος ἐν ἅρματι μαρμαρίνῳ καὶ Ἡρακλῆς ὁ ἀνακείμενος· ἔνθα ποταμὸς ὁ ἀπὸ Λύκου λατρευόμενος· καὶ ἐν αὐτῷ χελῶναι μεσταὶ ὀρνίθων καὶ δράκαιναι ιη'· ἐγίνοντο δὲ ἐκεῖσε δαιμόνων ἐπιστασίαι.* Inde Codin. II 52 (p. 45, 11 B) nulli codd.; cf. Nic. Chon. p. 405, 20 schol., cod. Hierosol. Sabbait. n. 422 (*βασιλογράφιν*), Neues Archiv der Gesellschaft für ältere deutsche Gesch. XV (1890) 155 sqq. (Vasilographus)

3 *τοῦτο* P, corr. Lamb. 4 *βερήνης* P 5 fortasse inserendum <*ἐπιβουλεύει*> *ἐμβατεύοντι κτλ.* 7 Et *φρατριάζειν* et *φατριάζειν* (= insidiari) Byzantinis in usu est 10 *τὸ πέρας* seclusi *ἀρτοπωλίω* (sic P) *καλενδίᾳ*] sanumne sit dubito. Cf. 'calenda: locus ubi territorium aliquod incipit' Du Cange Favre s. v. (saec. XIII) 11 *Σελεντίου ὑπ' ἄρχοντος* edd. 14 *τοιῶδε* P, correxi 15 *νεμομένη* Comb., *νενοημένη*? 17 *ἐσώθη*] sc. *ἡ γραφίς* 19 *θεμάτιον*? cf. p. 32, 9 et 35, 2

ζαντίων πόλεως πρωτεῦον ἀπὸ Τραιανοῦ. ⟨ὡς⟩ Μεκᾶς καὶ Γλαῦκος· ἐξ ὧν Θεόδωρος χρονογράφος ἀναρρωσθεὶς ἀναγνώσμασιν. Ζεὺς Ἥλιος ἐν αὐτῷ τῷ τόπῳ ἐν ἅρματι μαρμαρενδέτῳ· † Διὸς σκυταλίδης, Ἀριστείδης, Ἡρακλῆς ὁ ἀνακείμενος, ἡνίοχος θεῶν ἐπιγράφων ‛Ἀπόλλων παγκρατής'. Ἔνθα ὁ ποταμὸς † ὁ κύτλου, ἀέτιος ὁ ἀπὸ Λύκου [μυκο]λατρευόμενος· ἐν αὐτῷ χελῶναι μεσταὶ ὀρνίθων· ἐν αὐταῖς δράκαιναι ιη', Κουκοβύτιος φιλόσοφος εἰδώλων πρωτοστάτης καὶ θύτης γυναικὸς καὶ δύο τέκνων, μητρὸς Ἀγλαΐδης καὶ ἀδελφῆς Γραφεντίας. Ἐν αὐτῷ τῷ τόπῳ δαιμόνων ἐπιστασίαι καὶ πτώσεις, ἅτε βασιλέων. ⟨ἐγίνοντο⟩ τοῖς φιλοσοφοῦσι· μάλιστα ἐὰν πόρνοι εἶεν τῇ γλώττῃ ἢ τῇ σπορᾷ οἱ βασιλεῖς ὀλέθριοι. Διὰ τοῦτο τῷ γυμνῷ προσεχέτωσαν ζωδίῳ, καὶ σιδηρέαν βοτάνην σὺν κοχλίδι περιξέσαντες καὶ τοῖς μυκτῆρσιν ὀπτήσαντες † γαλουχεῖτε τοῖς φίλοις τοῦ ἄνακτος· † καὶ ἣν γνωστὰ ἐκ τούτων ἴσως θέλεται εἰς αὐτοὺς γενέ-

1 προτεύων P, προτερεῦον Comb.; corrigebam ὡς dubitanter supplevi 2 ἀναρρωσθεὶς] ἀναγνωρισθεὶς Comb., ἀναρρηθεὶς E. Kurtz (nomen ducens ex ..) 3 μαρμαζενθέτω P, correxi, cf. Anon. post Leon. Gramm. 348, 2 ἁμάξας σιδηρενδέτας; χρυσόδετος et χρυσένδετος (Pauly-Wissowa s. v.). Etiam μαρμαρενδέτω licet scribere coll. λιθένδυτος p. 50, 22 ubi videsis. μαρμαρείῳ ἐτέθη vel μαρμαρείῳ λευκῷ Lamb. 4 Διοσκουρίδης? ὁ ἀνακείμενος] i. e. accubans velut statua musei Chiaramonti 5 ἐπὶ δίφρων, Ἀπ. παγκρ.? παγκρατῆς P, παγκρατιαστής Comb. 6 Κύτλου et Ἀέτιος pro propriis nominibus accipiunt edd. 7 μυκο dittographia interpolatum esse videtur (cf. p. 48, 14). Ad rem cf. Malalas p. 264 8 Κουκοβύτιος] καὶ Ἀκούντιος edd. nescio unde; fort. Κουκουβύτιος scribendum; cf. Κουκουζέλης aliaque nomina; de Cobida vel Cubidio (v. Zach. v. Lingenthal Gesch. d. gr.-röm. Rechts p. 11) cogitavit W. Fischer 9 ⟨ἀλλὰ καὶ⟩ μητρὸς κτλ.? 11 ἅτε βασιλέων appositio vocis δαιμόνων (Comb.) ἐγίνοντο suppl. ex Anon. Tr. 15 γαλουχεῖται P, fort. γαλοῦ vel γαλῆς (sc. μυκτῆρσιν) χεῖτε τοῖς φίλοις 16 καθ' ἣν γνωστὰ ἐκ τούτων ἴσως θέλει τὰ εἰς αὐτοὺς γενέσθαι ὑμῖν? ἣν Comb

σθαι ὑμῖν. Πολὺς δὲ ἄργυρος καὶ μάλιστα δηναρίων κατέχωσται κάτωθεν, ἅτε δὴ καὶ θησαυρὸς χρυσίου. Ὅτι θέατρον
B 173 *† ὑπάρχον καὶ τοῖς πολλοῖς βλέπειν ἐν ἡμέρᾳ | Διὸς θυσίας καὶ θαυμάζουσιν· σεισμοῦ δὲ γενομένου ἀποθανεῖν ἐν αὐτῷ τῷ πέλματι ὡς ἐπὶ Βύζα καὶ Ἄντη, πρὶν Κωνσταντῖνος τῇ πόλει † ἀλλὰ τῇ Ῥώμῃ θεὸν γινώσκων ἐφαίνετο. Οἱ δὲ ἵπποι καὶ αἱ κιννύρες Γαλινδουχίου τοῦ δουκός· ἅτινα καθορῶνται ἐν τῷ † πυρὶ Ἀρτεμισίῳ ἕως τῆς δεῦρο. Ὅθεν, Φιλόκαλε, πολλοὺς κόπους διὰ τὴν σὴν ἀρετὴν ὑπομείναντες οὐδὲν ἠγανακτήσαμεν.*

42. *⟨Θέαμα ϛʹ.⟩ Περὶ τοῦ Βοός. Τὸ δὲ ἐν αὐτῷ τῷ Βοῒ θέαμα τρανῶς σοι ὑποδείξομεν, ὅπερ πλειστάκις δι' ἐπιστολῶν ἡμῖν ἐσήμανας δῆλόν σοι γενέσθαι, ὦ Φιλόκαλε. ⟨Ὑπὸ δὲ⟩ Οὐαλεντινιανοῦ τοῦ πραιποσίτου Κώνσταντος ἐν τῷ Ἱπποδρομίῳ οἰκοδομηθῆναι γινώσκομεν. Κάμινος δὲ*

§ 42 lin. 15—p. 49, 9 = Treu p. 15, 22 sqq.: *Περὶ τοῦ βοός. Κάμινος ἦν ἐκεῖ ἐκτισμένη παμμεγέθης βοὸς ἔχουσα κεφαλήν· ἔνθα οἱ κακοῦργοι ἐτιμωροῦντο· ὅθεν καὶ Ἰουλιανὸς προφάσει τῶν καταδίκων πολλοὺς ἐν αὐτῷ χριστιανοὺς κατέκαυσεν· ἦν δὲ ἡ κάμινος βοὸς τύπος παμμεγεθεστάτου θέαμα, οὗ κατὰ μίμησιν καὶ ἐν τῷ νεωρίῳ βοῦς ἀπετυπώθη· ἦν δὲ ὁ βοῦς ἡ κάμινος ἕως Φωκᾶ, ἀλλ' ὑπὸ Ἡρακλείου ἐχωνεύθη λόγῳ νουμμίων.* Inde Codin. II 53 (p. 46, 1 B)

1 *ὑμῖν*] *ὕμνον* Comb. 3 sq. *ὑπάρχων* P. Quae sequuntur, non minus obscura sunt; exspectamus *ὅτι θέατρον ὑπάρχον* (vel *ὑπῆρχεν*) *καὶ τοὺς πολλοὺς βλέπειν . . καὶ θαυμάζειν* *θυσίαις* P 5 *ἄντι* P 6 *ἄλλῃ τῇ Ῥώμῃ* Comb., *τῇ ἄλλῃ Ῥώμῃ?* *θεὸς* P 7 *κιννύρα* vel *κινύρα* musicae instrumentum est; *κιννυρίδες* 'quod Hesychius exponit *τὰ μικρὰ ὀρνιθάρια*' Lamb. *παλινδουχίου* vel *μεγαλινδουχίου* *Δουκὸς* Comb. (cf. l. l. p. 310); nomen *Γολινδούχ* occurrit in Actis SS. Mai IV 170 B (Theophil. Simoc. 5, 12, 1), 13. Juli III 509 sq. 8 *πυρὶ* P, *πύρῳ* vel *φόρῳ* Comb. *Ἀρτεμισίου* loci nomen alibi quod sciam non traditur; an *Ἀμαστριανῷ* vel *Ἀρτοπωλίῳ?* 11 *θέαμα ϛʹ* suppl. Bekker 13 *σήμανας* P 14 *ὑπὸ* suppl. Lamb. *βαλεντινιανοῦ* P *κώνσταντάντος* P

παμμεγέθης μεγάλη ἕως ἡμῶν διασωθεῖσα, ἔνθα Ἰουλιανὸς ὁ θεοστυγὴς προφάσει τῶν καταδίκων πολλοὺς ἐν αὐτῇ Χριστιανοὺς κατέκαυσε. Ἦν δὲ ἡ κάμινος φέρουσα βοὸς χαλκοῦ παμμεγεθεστάτου θέαμά τι, οὗπερ κατὰ μίμησιν ⟨καὶ βοῦς⟩ ἐν τῷ Νεωρισίῳ λιμένι κατετυπώθη. Τῷ δὲ αὐτῷ βοῒ τῷ χαλκῷ ἕνεκεν καύσεως παρηκολούθησέ τι μῶμον ἕως Φωκᾶ τοῦ ἀναξίου· καὶ μετὰ τὸ καυθῆναι τὸν αὐτὸν Φωκᾶν ὑπὸ Ἡρακλείου χωνευθῆναι τὸν βοῦν εἰς σκουλκαταμεῖον καὶ εἰς τὸν Πόντον περάσαι ἕνεκεν στρατολογίας (ἦν δὲ τὸ B 174 σκουλκάτον ἐν τῷ Πόντῳ) † σταθμῶν τοῦ ἀργυρίου κδʹ διὰ τὸ εἶναι αὐτὸ χυτόν. Ὅπερ καὶ ἐνταῦθα σώζεται ἕως τῆς σήμερον τοῖς ὁρῶσιν εἰς λαιμία χωνευτὰ σκυθρωπὰ πάνυ.

43. ⟨Θέαμα⟩ ζʹ. Ἐκ τοῦ † Μιλίου θεάματος τοῦ † ὀφικίου Διοσκόρου· ἐκ τῶν καθ' ὥραν ἐπὶ Μαυρικίου Αὐγούστου. Ὅτι τὸ Σινάτον τὸ λεγόμενον τοῦ Φόρου οὐδὲν ἄλλο ἐτυμολογεῖται ἢ μόνον Σινάτου οἰκοδομήσαντος τὸ Σινάτον· καὶ τὸ ἐν αὐτῷ τρίλιθον ζώδιον ἤτοι τρικέφαλον πορφυροειδῆ, ὃ ἔλεγόν τινες Κωνσταντῖνον τὸν μέγαν μέσον,

4 ὅπερ P ⟨καὶ βοῦς⟩ inseruit Lamb. 5 κατεπόθη P 8 εἰς σκουλκαταμίον P, correxi; σκοῦλκα = excubiae (Du Cange gloss. graec. et Du Cange-Favre s. v. sculca, Theophyl. Sim. 6, 9, 14, cf. προσκουλκάτορες Malal. p. 330, 2); 'in aerario excubiarum' 10 κουλκάτον P; σκουλκάτον = σκοῦλκα? (cf. φοσσάτον et φόσσα) ⟨ὑπῆρχε δὲ sc. τὸ θέαμα⟩ σταθμῶν? 11 ⟨χρυσὸν⟩ χυτόν Comb., χρυσεγχυτόν Band. 12 λεμία P; λαιμίον (a λαιμός) significat effigiem collo tenus ut στηθάριν imaginem pectore tenus; cf. Malal. p. 265, 1, Acta et Diplom. V p. 323 sq., Typicon Strammitzae ed. Omont in Mélanges Weil p. 309 sqq., Synops. Sath. p. 149, 20 τὰ νομίσματα τούτων (sc. τῶν εʹ βασιλέων) τοὺς τύπους φέροντα πενταλαίμια ὀνομάζοντο 13 θέαμα suppl. Lamb. ζʹ] ζη P, corr. Lamb. ἐκ τοῦ βιβλίου τοῦ θεάματος Lamb.; neque enim de Milio agitur in insequentibus 14 καθόραν ἐπὶ P 16 σινᾶ τοῦ P, corr. Lamb. 17 τὸν σινᾶτον P, correxi 18 πορφυροειδὲς Lamb.; sed cf. p. 22, 31 ἰκμώδη an Κωνσταντῖνον τὸν τοῦ μεγάλου?

Κωνστάντιον εὐώνυμον, Κώνσταν ἐν τοῖς δεξιοῖς μέρεσιν, εἰς πόδας ἀρκούμενον δύο, εἰς δὲ χεῖρας ἕξ· ξένον τοῖς ὁρῶσι θέαμα. ἄλλος ἀλλοχόθεν ὁρῶν, καὶ ἡ κεφαλὴ μία. Ἐμπυρισμοῦ δέ ποτε γενομένου ἐν αὐτῷ τῷ τόπῳ καὶ πάντων ἐκεῖσε ἀσχολουμένων, ὡς εἰπεῖν, κλαπῆναι τὸ θαυμάσιον ἐκεῖνο ἐπὶ Θεοδοσίου τοῦ μικροῦ υἱοῦ Ἀρκαδίου, ὃς εὐθὺς διὰ ταχυδρόμου ἐν τοῖς διαστατοῖς καὶ ἐν τοῖς θαλαττίοις μέρεσι μετὰ ἀπειλῆς ⟨. . . .⟩, εἰ μὴ φάνειεν τὸ θέαμα· καὶ οἱ τοῦτο τολμήσαντες οὐκ ἰσχύσαντες εἰς τὴν ἰδίαν πατρίδα ἀπενεγκεῖν, φθαζόμενοι δὲ τῷ δρόμωνι τῷ βασιλικῷ ἀποποιησάμενοι ἑαυτοὺς τό τε θέαμα καὶ ἑαυτοὺς ἐν τῷ βυθῷ
B 175 *ῥίψαντες κατεποντίσθησαν· ὡς πολλῶν πλοίων καὶ σαργάνων ἐλθόντων καὶ κολυμβητῶν τινων διὰ τὸ ἀδημονεῖν τὸν βασιλέα, δῶρά τε εἰς πλῆθος ταττομένου καὶ ὡς φʹ κεντηναρίων μεθ' ὅρκων φρικτῶν βεβαιουμένου τοῖς μέλλουσιν αὐτὸ ἐκβάλαι ἐκ τῆς θαλάσσης, οὐκ ἴσχυσέ τις. Τότε ὀργισθεὶς ὁ αὐτὸς Θεοδόσιος καὶ τὸν Σινάτου οἶκον τῷ πυρὶ παραδέδωκεν ὑπὸ τεσσάρων κιόνων βασταζόμενον. Καὶ μετέθηκεν τὴν στήλην Ἑλένης μητρὸς Κωνσταντίνου καὶ αὐτοῦ καὶ τῆς γυναικὸς αὐτοῦ Φαύστης, θυγατρὸς Διοκλητιανοῦ, ἐν τῷ αὐτῷ Σινάτῳ· αὐτοῦ μὲν καὶ τῆς γαμετῆς χαλκεγχύτων ὑπαρχόντων καὶ μέρος λιθενδύτων, αὐτῆς δὲ ἐκ πορ-*

2 *ἀρκούμενον*] vix genuinum 3 *ἄλλον* Comb. *ὁρῶντι?* 7 *διαστατοῖς*] quid sit, nescio, cf. *διάστημα* Theophan. p. 146, 12; an *διαβατοῖς?* 8 *ἀπελῆς* P, lacunam indicavi; excidisse videtur *ἐκήρυξε* vel *ζητεῖν ἐκέλευσε* vel simile quid 10 *δρόμῳ* P, corrigebam 12 *σαργάνων*] de accentu vide Krumbacher Studien zu Romanos p. 259 et Berl. philol. Wochenschr. 1899 p. 646, Hippol. Theb. ed. Diekamp p. 10, 2 14 *δῶρα δὲ* P, corr. Band. *ταττόμενον* P, corr. Lamb. *ὡς*] *ἕως?* 20 *θυγατρὸς ⟨Μαξιμιανοῦ τοῦ Ἑρκουλίου, γαμβροῦ⟩ Διοκλ.* suppl. Lamb. 21 *Σινάτῳ*] mirum quod in senatu, quem modo combustum esse narravit, statuas positas esse dicit 22 *λιθενδύτων*] cf. *ἀργυρενδυτος* infra in H. Soph. § 28; *χρυσίον* et *ἀργυρίον ἐνέδυσε* ibid. § 21 et 22 *αὐτῆς δὲ ⟨τῆς Ἑλένης⟩?*

φυροῦ μαρμάρου † περιφέρουσα· ἅτινα καὶ σώζονται ἕως τῆς δεῦρο.

Παπία.

44. Ἐν τῷ λεγομένῳ Στατῆρι, ὅπερ λέγεται Μόλιον, ἀλωπὸν εἶναι ἐκ μαρμάρου Πηγανουσίου εἰς μῆκος ὀργυιὰς ε΄, πλάτος δὲ ὀργυιὰς δύο ἥμισυ, πρὸς νότον ἐν τοῖς ἀνακτορικοῖς οἴκοις, πρὸς δὲ βορρᾶν πρὸς τὸν παλαιὸν νεών· ὅπερ ἐν τῷ στήθει ἔγραφεν δι' ἐμπλαστῶν χρυσέων καὶ ἀργυρέων γραμμάτων "Ἀφροδίτη Σελήνη"· ἐδόθη Πέρσαις εἰς πάκτον ἐπὶ Ἀναστασίου βασιλέως ἀντὶ σταθμῶν χιλίων χρυσοῦ.

44a. Καὶ τοῦτο δὲ ὁ αὐτὸς Παπίας ἐδίδαξεν ἐκ τῶν αὐτοῦ συγγραμμάτων, ὅτι αἱ γοργονοειδεῖς |† δεματερίδε γυναικοειδεῖς| κεφαλαὶ ἐν τῇ Χαλκῇ πύλῃ, πρὸς μὲν τὸ B 176 πρόσθεν περιπατοῦντι εὐωνύμως, πρὸς δὲ τὸ ὄπισθεν δεξιῶς, τῆς Ἀρτέμιδος θεᾶς ἐκ τοῦ ναοῦ Ἐφεσίων ἥκασιν ⟨ὀκτώ⟩· τὰ μὲν τέσσαρα ἐν τοῖς Ταύρου μέρεσιν, ἐν τοῖς παλαιοῖς

§ 44a l. 13—p. 52, 10 neglegentius excerpsit Anon. Treu p. 15, 30 sqq.: *Ὅτι ἐν τῇ χαλκῇ πύλῃ γοργονοειδεῖς γυναικοειδεῖς κεφαλαὶ ἐκ τοῦ ναοῦ τῆς Ἀρτέμιδος τοῦ ἐν Ἐφέσῳ ἥκασιν ὀκτώ· καὶ αἱ μὲν δ΄ ἐν τοῖς τοῦ Ταύρου μέρεσιν ἐν τοῖς παλαιοῖς παλατίοις προσεπάγησαν Κωνσταντίνου καὶ Ἰουλιανοῦ καὶ τῆς γυναικὸς αὐτοῦ καὶ τῶν υἱῶν αὐτοῦ καὶ Γάλλου, τὰ δὲ δ΄ ἐν τῇ Χαλκῇ εὐωνύμῳ μέρει· ἔνθα καὶ σταυρὸς ὑπὸ Ἰουστινιανοῦ πέπηγεν καὶ Βελισαρίου καὶ Τιβέριος ὁ κυρτοειδὴς Θρᾷξ καὶ Ἰουστῖνος ὁ πρῶτος λεπτοειδὴς καὶ τῶν συγγενῶν αὐτοῦ ἑπτά, αἱ μὲν ἀπὸ μαρμάρου, αἱ δὲ χαλκαῖ.* Inde Codin. II 28 (p. 34, 5 B)

1 *περιέχουσα* Comb., an *περιφεροῦς* ut duabus illis statuis partim aeneis partim marmoreis opponatur? 4 *μόλιον*] an *μῶλον*? (cf. Theophan. ind. verb.) 7 *νεὸν* P. cf. § 57 9 *σελένα* P *ἐδόθη* ⟨*δὲ*⟩? 12 *πατίας* P 13 *δεματερίδε* (i. e. *δειματοειδεῖς*?) et *γυναικοειδεῖς* glossae esse videntur ad *γοργονοειδεῖς* 16 *ἥκασι· τὰς μὲν τέσσαρας* P, corrigebam (subaudiendum est *γοργόνεια*)

παλατίοις προςπηχθέντα Κωνσταντίνου, ἔνθα καὶ Ἰουλιανοῦ καὶ τῆς τούτου γαμετῆς, ἀλλὰ καὶ Κωνσταντίνου τοῦ μεγάλου καὶ τῶν υἱῶν αὐτοῦ καὶ Γάλλου καθορῶνται ἀγάλματα· τὰ δὲ τέσσαρα ἐν τῇ προειρημένῃ πύλῃ εὐωνύμῳ μέρει· ἔνθα καὶ σταυρὸς πεπηγὼς ἐπὶ Ἰουστινιανοῦ τοῦ πάλαι καὶ Βελισαρίου ⟨καὶ ἄλλων στῆλαι⟩ καινουργηθεῖσαι ἵστανται· ἐν ᾗ καὶ αὐτὸς Βελισάριος καθορᾶται χρυσέμβαφος, ἡλιοκέφαλος, καὶ Τιβέριος ὁ κυρτοειδὴς Θρᾷξ καὶ Ἰουστῖνος αὐτόθι ὁ πρῶτος λεπτοειδής, ἐπίφορος κατ' ἰδέαν πάνυ, καὶ τῶν συγγενῶν ἑπτά, αἱ μὲν ἐκ μαρμάρου, αἱ δὲ καὶ χαλκαῖ, ἐκ τῶν ζωσμάτων ἐπιγινωσκόμεναι ἀκριβῶς τοῖς παριοῦσι.

45. *Πολλὰ τῇ βασιλίδι Πουλχερίᾳ Λέων ὁ μέγας ἐμακάριζεν· ὅθεν καὶ μνήμην αὐτῆς τῆς τελειώσεως ἐπετέλει, καὶ ἐν τῷ τάφῳ αὐτῆς αὐτὸς ἱστόρησε τὸ ταύτης ἴνδαλμα. Καὶ ἐν τοῖς βασιλείοις δὲ θεωρῶν αὐτὴν ἐν ἱστορίᾳ τὸν βίον ὅλον αὐτῆς ἐμακάριζεν. Μαρκιανοῦ δὲ στήλην καὶ Πουλχερίας ὁ αὐτὸς Λέων ἐν τοῖς Θεοδοσιανοῦ ἐμβόλοις μεταστήσας τῇ βασιλίδι πόλει προςέθηκεν.*

46. *Ἰουλιανοῦ χαραγὰς Θεοδόσιος ὁ μέγας ἠμαύρωσε· μεθ' ὧν καὶ τὴν τούτου στήλην ἔξω τῆς Χαραγῆς ἑστηκυῖαν θεασάμενος ἠρυθρίασε. καὶ τοῖς συνοδεύουσιν ἐπύθετο, τίνος*
B 177 *ἂν εἴη | τὸ χάραγμα. Τῶν δὲ Ἰουλιανοῦ φησάντων, εὐθὺς ἐκεῖνον εἰπεῖν ὅτι μέλαν ἄνθρωπον τὴν στήλην τεθέαμαι καὶ πάνυ ἠρυθρίασα· καὶ παραυτίκα ταύτην κατέαξε, καὶ δόγμα προέθηκεν, ὅτι ὅπου ἐὰν εὑρεθείῃ ἐν χαραγαῖς νουμίων τὸ*

4 **τὰς δὲ τέσσαρας** Comb. **ἐν τῆς προειρημένης πύλης εὐων. μέρει** Lamb., sed cf. § 15. 36. 18 5 **τοῦ πάνυ** Comb.
6 **καὶ νουργηθῆσαι** P, **καὶ Ναρσοῦ στῆλαι** Lamb., **καὶ ἄλλων στῆλαι** supplebam 9 **ἐπίφοβος?** 11 **ζωσμάτων]** **γραμμάτων?** **παροῦσι** P, corrigebam 20 **Χαραγῆς]** officinae monetarum; cf. Const. Porph. de caer. p. 11, 12 et schol. p. 8
23 **μέλανος ἀνθρώπου στήλην** Lamb. 25 **εὑρεθῇ ἢ** P; de optativo cum coniunctivo iuncto v. Büttner-Wobst Zonaras III p. 175, 14

τοιοῦτον ὑπόδειγμα καὶ μὴ τῷ δημοσίῳ καταμηνυθῇ. δημευθεὶς ὁ τοιοῦτος ἐξόριστος Κωνσταντινουπόλεως γένηται.

47. Πολὺς ἦν Ἰουλιανὸς ἐν μαγγανείαις· ὅθεν καὶ τοῖς εἰδώλοις εἰς στήλας βασιλικάς, φασίν, ἐξεικόνιζε καὶ προςκυνεῖσθαι ταύτας ὡς βασιλέων εἰκόνας ἠνάγκαζεν· μεθ' ὧν καὶ ἐν τῇ Νικομηδέων μητροπόλει τὸ τοῦ Ἀπόλλωνος ἄγαλμα χρυσέγκαυστον κατασκευάσας καὶ τῆς θεᾶς Ἀρτέμιδος νόμοις ὁμοίοις ἐνομοθέτει προςκυνεῖσθαι, ὡς αὐτοῦ φησιν εἶναι καὶ τῆς γαμετῆς τὰ ἰνδάλματα· ὅθεν καὶ ἄπειρον πλῆθος κλαπὲν εἰς εἰδωλολατρείαν κατέπεσεν.

48. Ἐν τοῖς Πανεάδος μέρεσι τῇ ἐπονομαζομένῃ Καισαρείᾳ τῆς Φιλίππου διερχομένου Ἰουλιανοῦ, τὸ τῆς αἱμορρούσης ἴνδαλμα θεασάμενος καὶ αὐτοῦ τοῦ Ἰησοῦ τὸν ἀνδριάντα ὡς ἔλεγον ὑπ' αὐτῆς κατασκευασθέντα· ἐν οἷς κεκυφυῖα ἡ γυνὴ καὶ τῇ δεξιᾷ χειρὶ τοῦ κρασπέδου τοῦ ἀνδριάντος Ἰησοῦ ἁπτομένη· μέσον που βοτάνης εἶδος, ἀλεξητήριον φάρμακον πρὸς πᾶσαν νόσον ἐπιτήδειον ἐκφυὲν καὶ τυφλοὺς ὥς φασι τοὺς ἐκ κοιλίας μητρὸς ἐξελθόντας ἰάσασθαι (τοῦτο δὲ καὶ Εὐσέβιος ὁ Παμφίλου καὶ ὁ Διακρινό- B 178
μενος ἀκριβέστερον μέμνηται) — ταῦτα Ἰουλιανὸς θεασάμενος ἐπύθετο τὸ μυστήριον, καὶ μαθὼν Ἰησοῦ εἶναι τὸν ἀνδριάντα κατέκλασεν· ὡσαύτως δὲ καὶ τῆς Βερονίκης, ὡς ὁ Διακρινόμενος μέμνηται καλεῖσθαι τὴν αἱμόρρουν· καὶ τὸ φυτὸν δὲ κατέκαυσε καὶ Διὸς εἴδωλον καὶ Ἀφροδίτης ἐν τῷ τόπῳ ἀνατεθεικὼς καὶ ἑαυτόν· ἐν οἷς καὶ ναὸν οἰκοδομήσας ἐπέγραψε τάδε· 'θεῷ Διῒ παντεπόπτῃ· Ἰουλιανὸς Πανεάδι εἰς δῶρον ἄγει'. Ἔνθα καὶ Μαρτύριος ἐπίσκοπος πολλὰ ἐξου-

3 τὰ εἴδωλα? 5 ταύταις P 7 χρυσέγκαστον P 9 κλαπτὲν P, κλαπὲν Lamb. (= κλοπιμαίως?) 11 De variis de Veronica narrationibus cf. Dobschütz Christusbilder p. 197 sqq. et 250* sqq Καισ. τῇ Φιλίππου Lamb.; sed cf. Theophan. 49, 9, Cedr. 534, 8; 535, 3, Sozom. 5, 21 12 αἱμορρούσης P 16 ⟨καὶ⟩ μέσον? ποῦ P 19 Euseb. hist. eccl. 17, 18 25 ἑαυτοῦ Comb.

θενήσας αὐτὸν ἐκάη πλησίον τοῦ ναοῦ, ὡς ἔλεγον, εἰς θυσίαν θεοῖς.

49. Ἰουλιανοῦ βασιλεύοντος, πρὶν ἢ τὴν Ῥώμην καταλαβεῖν, στήλην ἐν Βυζαντίῳ τούτου ἀνέστησαν ἐν τοῖς Κωνσταντινιανοῦ ἐμβόλοις· καὶ ὁ στρατηλάτης δὲ Δημόφιλος χαίρων τῇ τῶν εἰδώλων θρησκείᾳ ἐν πορφυρῷ κίονι ταύτην ἀνέθηκεν· † μέγας θεοσεβὴς ὑπάρχων Ἰουλιανός. Διὰ τοῦτο ἢ μόνον ἐβασίλευσεν, καὶ ἐν Ῥώμῃ καὶ ἐν Ἀντιοχείᾳ εἰκόνας αὐτῷ ἔν τε σανίσι καὶ χαλκουργήμασι μεγίστοις ἀνέθετο.

50. Γρατιανὸς μετὰ τὸ γῆμαι ἐν Ῥώμῃ παρεγένετο καὶ ἑαυτὸν καὶ τὴν γαμετὴν ἐν ἀργυραῖς στήλαις εἰς ἄλλο θέαμα τῇ Ῥώμῃ προέθηκεν.

51. Οὐαλεντινιανοῦ τοῦ νεωτέρου ἐν τοῖς Λεοντίου ἐμβόλοις ὑπῆρχε στήλη θαυμάσιος, ἔνθα Ζήνων τὰς ἐποψίας ἐποιεῖτο. Ζήνων Οὐαλεντινιανοῦ τὴν στήλην θεασάμενος ἀτυχεῖν ἔφησε τοὺς μὴ εἰκόσιν εἰς μνήμην καθορᾶσθαι Καίσαρας.

B 179 **52.** | Ἐν τῷ Βοῒ Κωνσταντίνου φοσσάτον παρεσκευάσθη μέγιστον, καὶ πόλεμον αὐτῷ Βύζας παρετάξατο, καὶ ἀπέθανον Ἕλληνες, ὡς ὁ Σωκράτης φησίν, εἴκοσι χιλιάδες. Παρευθὺ δὲ ἐν αὐτῷ τῷ Βοῒ σταυρὸς ἀργυροῦς κεχρυσωμένος ἐτυπώθη καὶ Κωνσταντίνου καὶ Ἑλένης εἰκόνες, ἀμφοτέρων αἱ χεῖρες τὸν σταυρὸν κατέχουσαί φασι τὸν θεόδουλον.

---

4 ἀνέστησεν P, corr. Comb. 7 Ante μέγας in P tantum spatium relictum est quantum in capitum initiis; forte ἐπιγράψας inserendum est ὑπάρχει? 8 εἰ μόνον P, corr. Band. 8 sq. ἐβασίλευσεν sc. Ἰουλιανός 10 ἀνέθετο] ἀνέθεντο? 12 ἀλλότριον? 13 προέθηκεν] cf. § 59. 64 (προσέθηκε § 17. 18. 21. 45) 15 ἐποψίας ποιεῖσθαι vectigalia et tributa inspicere, cf. de Boor Theophan. ind. s. v. 17 καθορωμένους vel καθορᾶσθαι <μέλλοντας>? 19 φωσάτον P 22 ἀργυρὸς P
24 φασὶ τὸν θεόδουλον (θεόδουλ in rasura) P in initio § 53 exhibet. In fine § 52 ponit Comb. scribens φησὶ τῶν θεοδούλων (sc. Κωνστ. καὶ Ἑλ.). Immo ad σταυρὸν pertinere videntur

53. Ὅτι τὰ λεγόμενα Κοντάρια βίγλαν εἶχον ἕως ἔτη ζ'· καὶ ἐν αὐτῷ τῷ τόπῳ πόλεμος ἕως ἔτη β' καὶ ναὸς εἰδώλων μικρὸς πάνυ, ὃν ἔλεγον Γαληνοῦ εἶναι· ὃν καθελὼν Κωνσταντῖνος τῆς Θεοτόκου οἶκον ἀνήγειρε καὶ ἑαυτὸν ἐγχαράξας καὶ τὴν μητέρα καὶ Ἰησοῦν καὶ τὴν Παρθένον πανηγυρικὰς ἑορτὰς ἐπετέλει εἰς ἡμέρας ιβ'.

54. Ἐν τοῖς Βιγλεντίου ὑπῆρχεν ἡ ὀχυρωτάτη βίγλα Κωνσταντίνου, ἣν πρὸ τῆς ὀπτασίας ⟨ἔξω⟩ τῆς πόλεως ἔστησεν· ἐκεῖ γάρ, ὡς ἔλεγεν, καὶ τὸν σταυρὸν περὶ δειλινὸν ὀφθαλμοφανῶς ἐθεάσατο. Ἐν αὐτῷ δὲ τῷ τόπῳ τοῖς Βιγλεντίου Σευῆρος Γάζους κατῴκισεν, οὓς καὶ πολεμήσας Μαξιμῖνος στρατηγὸς Κωνσταντίνου ὡσεὶ ὀκτὼ χιλιάδας ἀπέκτεινεν. Καὶ τότε οἱ λοιποὶ καταβάντες τῶν ἵππων καὶ τὰ ξίφη κλάσαντες τοῖς ποσὶν Μαξιμίνου ἐγκυλινδούμενοι σωτηρίας τυχεῖν ἱκέτευον· καὶ τυχόντες ἐκ τῶν ἰδίων χαλκουργημάτων Κωνσταντίνῳ στήλην ἀνέθεντο.

55. Ἐν τῷ Φόρῳ μ' ἡμέρας Κωνσταντῖνος ἐδοξάσθη καὶ εὐφημίσθη παρὰ τοῖς μέρεσι καὶ παρὰ τοῖς ἄρχουσι B 180
τῆς αὐτῆς πόλεως. Κανονάρις δὲ φιλόσοφος ἐν ὑψηλῷ τόπῳ ἀνελθὼν μετὰ τὸ πεσεῖν τοὺς ὄχλους μεγάλῃ φωνῇ

---

§ 53 Treu p. 16, 9 sq.: *Τὰ λεγ. Κοντάρια* βίγλα ἦν μεγάλη τὸ πρότερον καὶ ἕως ζ' ἐτῶν ἐφυλάττετο ἐκεῖσε *καὶ πολέμου γενομένου ἐκεῖσε* δύο *ἔτη ναὸς* ᾠκοδομήθη *εἰδώλων μικρὸς ὑπὸ* Γαλλίνου· *ὃν καθελὼν Κ. τῆς Θεοτόκου ναὸν* ἤγειρεν *καὶ* ἐνεχάραξε τὸν Χριστὸν *καὶ ἑαυτὸν καὶ τὴν μητέρα* αὐτοῦ *καὶ ἐπετέλεσε* πανήγυριν *ἡμέρας* δώδεκα. Inde Codin. II 66 (p. 51, 12 B) § 54 Anon. Treu p. 16, 15 sq. nihil nisi prima verba (usque *Κωνστ.*) excerpsit. Inde Codin. II 67 (p. 52, 3 B)

---

3 ὃν ἔλ.] ὡς ἔλ. P, corr. Band. *Γαλλιηνοῦ* Lamb. 6 εἰς] ἕως Comb., ὡς Band. 7 *ἰσχυρωτάτη* Tr. *βίγλη* P 8 Post *ὀπτασίας* inseruit Comb. ⟨*τῆς τοῦ σταυροῦ ἐπὶ*⟩, ego ἔξω vel πρὸ excidisse puto 9 *ἔλεγον* Lamb. 20 *παῦσαι* Lamb., *σιωπῆσαι*?

ἔκραξεν· ‘ὑπὲρ προγόνων μὴ φρόνει, ὁ τῶν προγόνων καθαιρέτης.’ Ὃν ὁ Κωνσταντῖνος μετακαλεσάμενος συνεκρότει καὶ παρεκάλει τοῦτον παύσασθαι ἑλληνίζειν. Ὁ δὲ ἰσχυρᾷ τῇ βοῇ ὑπὲρ προγόνων καὶ ἀποθνήσκειν ἑλόμενος ἐκαρατομήθη ἐν τοῖς αὐτοῖς Βιγλεντίου ἐμβόλοις εἰς φόβον τῶν καταληφθέντων Γάζων.

56. Ἡ στήλη ἡ ἐν τῷ Φόρῳ πολλὰς ὑμνῳδίας ἐδέξατο. Ἐν αὐτῇ τὸ πολίτευμα καὶ Ὀλβιανὸς ἔπαρχος καὶ οἱ σπαθάριοι, οἱ κουβικουλάριοι καὶ μόνον καὶ σιλεντιάριοι μετὰ κηρῶν λευκῶν ὀψικεύσαντες, λευκὰς στολὰς ἀμφότεροι περιβεβλημένοι, ἀπὸ τὸ καλούμενον ἀρτίως Φιλαδέλφιν, τότε δὲ Προτείχισμα καλούμενον (ἐν οἷς καὶ πόρτα ἦν τὸ πρότερον ὑπὸ Κάρου κατασκευασθεῖσα) ἀνήνεγκαν ἐποχουμένην εἰς καρούχαν· ὡς δὲ ὁ Διακρινόμενός φησιν, ὅτι ἐκ τῆς καλουμένης Μαγναύρας. Ἐν οἷς ἐν τῷ Φόρῳ τεθεῖσα καὶ πολλάς, ὡς προείρηται, ὑμνῳδίας δεξαμένη εἰς Τύχην τῆς πόλεως προσεκυνήθη παρὰ πάντων, ἐν οἷς καὶ τὰ ἐξέρκετα· ἔσχατον πάντων τότε ὑψοῦτο ἐν τῷ κίονι, τοῦ ἱερέως μετὰ τῆς λιτῆς παρεστηκότος καὶ τὸ ‘Κύριε ἐλέησον’ πάντων βοώντων ἐν ρ′ μέτροις. Πολλὰ οὖν ὁ Διακρινόμενος ἄνωθεν τοῦ κίονος φάσκει πράγματα τεθῆναι, ἔνθα ἡ στήλη

§ 56 lin. 11 usque ad finem Treu p. 16, 19 sqq.: Ὅτι νῦν τὸ Φιλ. τὸ παλαιὸν ἐπὶ Κωνσταντίνου προτείχισμα ἦν καὶ πόρτα ὑπὸ Κάρου κατασκευασθεῖσα· ἐκεῖ ἵστατο πρῶτον ἡ στήλη τοῦ φόρου, ἣν ἀπὸ τοῦ Φιλαδελφίου εἰς καροῦχαν ἤνεγκαν, ὡς δὲ κτλ. non paucis omissis, sed re non discrepans. Inde Codin. II 48 et 49 (p. 43, 19—44, 11 B.)

---

6 καταλειφθέντων Lamb. (cf. p. 55, 13 οἱ λοιποί) 8 ἐν αὐτῇ] ἦν αὐτὴν Menrad 9 κουβικουλάριοι Lamb. (qui magistratus saepe iungitur cum silentiariis); idem conicit σπαθαροκουβικουλάριοι; κουδικέλλιοι P, qualis magistratus nusquam memoratur καὶ μόνον] cf. § 15 καὶ μόναι, indicem Malalae etc.; καὶ μὴν Comb. 11 ἀπὸ τοῦ κτλ. Lamb. 15 ἐν οἷς] ἣ (ἢ cod.) Tr. 17 ἐξέρχετα P, corr. Lamb. (sc. προσεκύνησαν αὐτήν) 20 ἐν ρ′ μέτροις] ἑκατοντάκις Tr.

ἵσταται, ἐν οἷς καὶ χαραγὴ βασιλικὴ Κωνσταντίνου ἡ λεγομένη σωτηρίκιος, χίλια κεντηνάρια. Τότε εὐφημίσθη ἡ πόλις κληθεῖσα Κωνσταντινούπολις, τῶν ἱερέων βοώντων· 'εἰς B 181 ἀπείρους αἰῶνας εὐόδωσον ταύτην, Κύριε'. Καὶ οὕτως μετὰ πολλῆς δορυφορίας ἐμμέτρως μ' ἡμέρας πανηγυρίσαντες, τοῦ βασιλέως σιτηρέσια πάμπολλα τοῖς ὄχλοις χαρισαμένου, ἀπῆλθεν ἕκαστος ἐν τῇ ἰδίᾳ οἰκίᾳ. Καὶ οὕτως τῇ ἐπαύριον τὸ γενέθλιον τῆς πόλεως γέγονεν καὶ ἱπποδρόμιον μέγα. πολλὰ κἀκεῖσε χαρισαμένου, καταλείψας τὰ τοιαῦτα γενέθλια εἰς μνήμην αἰώνιον.

57. Ἐν τοῖς πλησίον τοῦ Ταύρου μέρεσιν Κωνσταντῖνος ὁ μέγας ἐν τῷ θέρει ἡδέως διέτριβεν· ἔνθα Σευήρου τοῦ υἱοῦ Κάρου ὑπῆρχε παλάτιον καὶ νεώς, εἴδωλον θεοῦ Σευήρου ὀνομαζόμενον· ἔνθα καὶ τέσσαρες συνθεταὶ καμάραι παμμεγέθεις καὶ αὐταὶ ὑπὸ Σευήρου κατασκευασθεῖσαι. πολλὰ μαντείας εἰς χρῆσιν † οἰομισμῶν θεῶν μακάρων καὶ θεῶν Βητγάμων ἔχουσαι εἴδωλα, ἀργυρᾶ τε καὶ χαλκᾶ καὶ ἐξ ἐλεφαντίνων καὶ μαρμάρων, ὡς λόγος φέρει πολλῶν, ὡς εἶχε, φησίν, ἐν αὐταῖς ταῖς καμάραις· καὶ πόλεμος Κωνσταντίνου γέγονε καὶ Σευήρου τὸν Ἑρκούλιον ἐνίκησε καὶ ἐν ταῖς καμάραις τὴν κεφαλὴν αὐτοῦ τε καὶ τῶν μεγιστάνων αὐτοῦ ἐπὶ ἑπτὰ ἡμέρας ἐκρέμασε· καὶ μετὰ ταῦτα τὰ εἴδωλα συγ-

2 σωτηρίχιος P, -ίκιος vel -ήσιος Comb. (cf. p. 319) 11 τοῦ στρου (i. e. σταυροῦ) P, corr. Lamb. 13 εἰδώλου P, εἰδώλων Band., εἴδωλον Comb.; an ⟨καὶ⟩ εἴδωλον? 14 ὀνομαζόμενος vel -μένου Lamb. 15 σεβήρου P πολλὰς P, corrigebam (πολλὰ — εἴδωλα); πολλῆς Lamb. 16 οἰωνισμῶν τε Lamb., αἰωνίων Band., an τῶν νενομισμένων vel ὠνομασμένων? 17 βητγάμων] Comb. confert Βητάγων, nomen Saturni apud Phoenices inferosque deos significari putat ἔχουσα P 18 ὡς εἶχε (sic) φησὶν P; verba obscura sunt; ὃν εὔξασθαί φασιν Comb. 20 Σευῆρον Band. (ὡ Μαξέντιον τὸν Ἑρκ. Lamb., καὶ Μαξ. τοῦ Ἑρκ. Band.) 22 ἡμέραις P, corrigebam ex consuetudine scriptoris συγκαλέσας P, corr. Lamb.

κλάσας εἰς μέρος αὐτουργικὰ ὑπάρχοντα ἐκ τῶν αὐτῶν μαρμάρων εἰς θέαν ἔασεν. Ἐν αὐτῷ τῷ τόπῳ ἕως Ἰουλιανοῦ ἐτιμωροῦντο κατάδικοι. Ἐν τῷ αὐτῷ τόπῳ ὑπερκειμένη πλάκα εἰς μῆκος ἄγαν καὶ ζωδίοις ἀναγεγλυμμένοις τοὺς πολέμους Κωνσταντίνου ἕως τοῦ τρίτου σεισμοῦ προέκειτο δεικνύουσα.
B 182 Κωνσταντίνου στήλη | ἐκεῖσε ἄνωθεν τῆς καμάρας τῆς πρὸς τὸ ἄνωθεν μέρος ἐτύπωτο, τὸ σημεῖον τοῦ σταυροῦ ἐν τῇ δεξιᾷ χειρὶ κατέχουσα.

58. Ἐν τοῖς Φιλαδελφίου τῆς καλουμένης πόρτης μέρεσιν ἐνυπνιάσθη Κωνσταντῖνος· ἐκεῖ πρῶτον πάντων τὸν τύπον τοῦ σταυροῦ ἐθεάσατο, τυπώσας αὐτὸν εἰς μῆκος καὶ πλάτος, ὡς εἶδεν, ἐν κίονι πορφυρῷ τετραπλεύρῳ, χρυσώσας αὐτόν, καὶ σημεῖον σπόγγου ἐν τοῖς ποσὶν τοῦ σταυροῦ ἀσφαλισάμενος· ⟨καὶ στήλην⟩ τῆς μητρὸς Ἑλένης καὶ αὐτοῦ καὶ τῶν υἱῶν ἐξ αὐτοῦ ⟨τοῦ⟩ τετραπλεύρου κίονος ἀνατυπώσας εἰς θρόνους ἐτίμησε. Πολλὰς ὑπατείας ὁ μέγας Κωνσταντῖνος ἐν αὐτῷ τῷ τόπῳ πεποίηκεν. Ἐν αὐτῷ δὲ τῷ τόπῳ ἐτιμήθησαν κεντυρίονες διὰ τὸ τὸν σταυρὸν βαστάζειν ἐν προτιμήσει γενόμενοι, ὑπεράνω † βαλλέριον καθίσαντες.

§ 58 lin. 9—16 = Treu p. 17, 1 sqq.: Ὅτι εἰς τὸ Φ. ἔστησεν ἐπὶ κίονος ὁ ἅγιος Κ. κεχρυσωμένον σταυρὸν κατὰ τὸν τύπον, ὃν εἶδεν ἐν τῷ οὐρανῷ, καὶ ἐκ τοῦ κίονος τοῦ σταυροῦ τοῦ πορφυροῦ αὐτοῦ στήλην· καὶ τῶν υἱῶν αὐτοῦ στήλας ἀνετύπωσε καὶ εἰς θρόνους ἐτίμησεν. Inde Codin II 50 (p. 44, 12 B)

1 αὐτουργικὰ idola pagana Du Cange in glossario interpretatur, cum αὐτουργοὶ coloni i. e. pagani sint (?) an ἐκ τῶν αὐτῶν καμαρῶν e regione harum camerarum? cf. ind. s. v. ἐξ 2 εἴασεν Lamb. 3 πλάξ Band. 7 ἐτυποῦτο Band.; de neglecta reduplicatione cf. § 41 κατέχωσται 14 καὶ στήλην (vel στήλας) supplevi 15 τοῦ suppl. Comb. 16 εἰς θρόνους ἐτίμ.| cf. τὴν εὐεργέτιν ἐτείμησεν ἐ(σ) στήλην Sterrett The Wolfe exped. n. 330 18 διὰ τὸ τὸν σταυρὸν ἐν προτιμήσει βαστάζειν γενόμενοι P, corrigebam 19 ὑπεράνω τοῦ λαβάρου καθίσαντες vel καταστήσαντες (sc. τὸν σταυρὸν) Lamb., ὑπεράνω καβαλλαρίων καθίσαντες Comb. 'ut superiori equitibus

59. *Πολλὰς Κωνσταντῖνος στήλας ἐν τῷ Φόρῳ προέθηκεν, μεθ' ὧν καὶ ἐξ ἰδίας κατασκευῆς ἕως λ'. Πρῶτος ὕπατος ἐν τῷ Φόρῳ Καλλίστρατος ἐτιμήθη· καὶ ἕως βασιλείας Κωνσταντίνου ὕπατοι κωδικέλλους ἐν τῷ Φόρῳ ἐλάμβανον. Ὁ δὲ Καλλίστρατος ὕπατος μεγάλως ἐτιμήθη ἐν τῷ Φόρῳ, ὡς πρῶτος τὴν ἀξίαν τοῦ ὑπάτου δεξάμενος, τοῦ Πρασίνου μέρους βοῶντος· 'Καλλίστρατος εὐτυχὴς καὶ εἰς ἄλλο προκόψει'. Ὁ δὲ φοβηθεὶς τῷ τοῦ ἁγίου ⟨. . .⟩ τεμένει καταλαμβάνει, καὶ εἰσελθὼν ἐν αὐτῷ ἐζήτει πρεσβείαν. Πολλὰ Κωνσταντῖνος τῷ Καλλιστράτῳ ἐξωμόσατο μὴ ἀδικῆσαι· ὁ* B 183 *δὲ οὐκ ἠνέσχετο καὶ χειροτονηθεὶς πρεσβύτερος τῆς ἐκκλησίας ἐξέρχεται· ὃς καὶ ἐπισκόπησεν ὕστερον· ὅθεν μοι τὰ πολλὰ ἐμφέρεται διηγήματα.*

60. *Ἐν τῷ Ἱπποδρομίῳ ἀπετέθησαν εἴδωλα ἐκ τῆς Ῥώμης ἥκοντα ὡσεὶ ξ', ἐν οἷς καὶ Αὐγούστου, ὡς οὐ γέγραπται μέν, λέγεται δέ, τὸ ὁμοίωμα.*

§ 59 Treu p. 17, 7 sqq.: *Περὶ τοῦ σενάτου· ὅτι ὁ φόρος τιμὴν ἔσχεν· ὡς οἶμαι δὲ τὸ σενᾶτον λέγει, ὅτι ἐξ ἀρχῆς τοὺς κωδικέλλους οἱ πατρίκιοι ἐκεῖσε ἐλάμβανον ἕως Κωνσταντίνου· πρῶτος δὲ Καλλ. τὴν ἀξίαν τοῦ ὑπάτου ἐκεῖσε ἐδέξατο τοῦ δήμου κράζοντος· Κ. εὐτυχὴς καὶ εἰς ἄλλο προκόψει· ὁ δὲ φοβηθεὶς προσέφυγεν τῇ ἐκκλησίᾳ. Κωνστ. δὲ ἐξωμόσατο μὴ ἀδικῆσαι αὐτόν· ὁ δὲ μὴ ἀνασχόμενος ἐχειροτονήθη πρεσβύτερος, εἶτα ἐπίσκοπος· ὅθεν πολλά μοι ἐκφέρεται διηγήματα.* Inde Codin. II 44 (p. 40, 17 B) § 60 lin. 14 sq. (-*Αὐγούστου*) = Treu p. 17, 17 sq. Inde Codin. II 73 (p. 52, 18 B)

loco considerent'. Hoc magis placet: similem militum honorem memorat Malalas p. 351 2 ***πρῶτον*** P, Callistratus consul ficticius est 4 ***κοδικέλλους*** P 7 eadem fere acclamatio Codin. III 123 (p. 107, 15 B) 8 ***τὸ . . τέμενος*** Comb.; sed saepe ***καταλαμβάνειν*** cum dativo iungitur a Byzantinis. Lacunam indicavit Comb. 9 ***πρεσβείαν*** i. e. Sancti illius auxilium et preces, cf. lexica; ***ἄδειαν*** Comb. 15 ***ὡσεὶ ξ'***] ***ἐξαίρετα δὲ ξ*** Treu (ubi ***ἐξαίρετα δὲ ἑξήκοντα*** scribendum esse docet Codinus)

61. *Πολλὰ ἡμῖν διεβεβαιοῦτο Φίλιππος ἔπαρχος, ὅτι τὸ ἐν τῷ Ἱπποδρομίῳ ὑπάρχον ὁμοίωμα Θετταλικὸν κατασκεύασμα ὑπάρχει Ποντίου τινός, τὸ ἄνωθεν τῆς βασιλικῆς καθέδρας ἱστάμενον. Ἐν δὲ τοῖς γυναικείοις ὁμοιώμασιν, τὸ πλησίον τῶν Μήδων τοῦ ἐλεγείου, αἱ γεννῶσαι θῆρες καὶ ἀνθρώπους ἐσθίουσαι· τὴν μὲν μίαν Ἡρωδίων μοι ἐτράνωσεν Ἰουστινιανοῦ τοῦ ἀθέου δηλοῦσαν τὴν ἱστορίαν ⟨τῶν δευτέρων αὐτοῦ πράξεων⟩· τὸ δὲ δεύτερον, ἐν οἷς καὶ πλοῖον ὑπάρχει, μὴ πληρωθῆναι, ἀλλὰ περιμένειν. Ὅπερ ἀκούσας ἐδάκρυσα, εἰ ἄρα γ' ἔτι τοιοῦτον πάλιν τῇ Κωνσταντινουπόλει ἐπέλθοι ἀλόγημα. Ἰουστινιανὸς ὁ μέγας ἐν τοῖς τοῦ καθίσματος † κατ' ἔπος ἐποχεῖτο ἐν ἵππῳ χαλκῷ μετὰ τὴν νίκην Μήδων. Ἡ ἐν τῷ Ἱπποδρομίῳ καθεζομένη γυνὴ ἐν σελλίῳ χαλκῷ καὶ αὐτὴ ἄνωθεν, ὡς προείπομεν, ὁ μὲν Ἡρωδίων ἐδίδαξε Βερίναν εἶναι τοῦ μεγάλου Λέοντος· ὡς δὲ ἐγὼ παρὰ πλειόνων ἤκουσα, ἐξ Ἑλλάδος εἶναι τὸ εἴδωλον μᾶλλον τῆς Ἀθηνᾶς, ὅπερ καὶ ἐπίστευσα.*

62. *Πολλὰ Φίλιππος ἱστόρησεν ὁ δυνάστης, μεθ' ὧν καὶ τοῦτο παρέδωκεν, ὅτι τὸ δρακονταῖον Ἀρκαδίου μὲν*

---

§ 61 lin. 5—9 = Treu p. 17, 19 sq.: *Περὶ τῆς γεννώσης θῆρας ἐν τῷ Ἱπποδρ.: Αἱ γεννῶσαι θῆρας καὶ ἀνθρώπους ἐσθίουσαι· ἡ μὲν μία ἐστὶν Ἰουστ. τοῦ τυράννου δηλοῦσα τὴν ἱστορίαν* ***τῶν δευτέρων αὐτοῦ πράξεων****· ἡ δὲ ἑτέρα, ἐν οἷς καὶ πλοῖον ὑπάρχει, μὴ πληρωθὲν μέλλει γενέσθαι.* Inde Codin. II 77 (p. 53, 19 B) Lin. 13—17 = Anon. Treu p. 17, 25 sq. qui pauca omisit; inde Codin. II 78 (p. 54, 8 B) § 62 p. 61 l. 3 sq. = Treu p. 17, 29 sq.; inde Cod. II 79 (p. 54, 11 B)

---

2 *τεθαλικὸν* P, *θετταλὸν* Comb. 5 *θῆραις* P 6 *ἐσθίουσιν* P 7 *δηλοῦσα* P, *δηλῶσαι* Lamb. *τῶν δευτ. κτλ.* om. P 10 *γέτη* P, *γε* edd. 11 *ἐπέλθη* P 12 *τοῦ καθίσμασι* P, corr. Comb. *κατεποχεῖτο* Comb., cf. § 14 *στήλη κατοχυῖα ἐν ἵππῳ*; fort. exciderunt quaedam: *κατ' ἔτος ἐποχεῖτο· ⟨ἔνθεν καὶ ἐτυπώθη⟩ ἐν ἵππῳ κτλ.* 18 *μεθ' ὧν* P, *μαθὼν* edd.

ἐκτύπωμά ἐστιν, | Ὀνωρίου δὲ ἀδελφοῦ αὐτοῦ ἐπίδειξις ἐν B 18[illegible] Ῥώμῃ βασιλεύοντος. Ἔνθεν καὶ χρησμοὶ καὶ πρὸ ἡμῶν καὶ ἕως τῆς δεῦρο οὐκ ὀλίγοι γεγόνασιν. Ἡ δὲ ἄνωθεν τοῦ δρακονταίου ὕαινα ἀπὸ Ἀντιοχείας τῆς πρώτης εἰς Κωνσταντινούπολιν ἐλήλυθεν ἐπὶ Κωνσταντίνου τοῦ μεγάλου, καθὼς ὁ προειρημένος Φίλιππος ἱστόρησεν.

63. Ἐν τῷ Ἱπποδρομίῳ πολλοὶ φόνοι καὶ κακὰ γεγόνασιν καὶ μάλιστα ἐν τοῖς πρὸ ἡμῶν· ἐν οἷς καὶ ἐφ' ἡμῶν Ἀναστάσιος ὁ μοναχὸς δι' ἀληθείας τρόπον ἀντιλέγων τῷ βασιλεῖ ἐκαύθη.

64. Εὐδοκίας Ἀθηναίας κατὰ μοῖραν δικασθείσης κατὰ χάριν ηὕρατο τύχην, καθ' ἣν οἱ αὐτάδελφοι, τὸ ξένον τῆς συγγόνου ἀκηκοότες εὐτύχημα, ἀνελθεῖν συνεπειρῶντο φιλοσόφοις ζ' καὶ τῇ τύχῃ ἐξ ἀτυχίας ἐδεήθησαν ἱλασθῆναι. Θεοδόσιος δὲ ὁ βασιλεὺς εἰς τὸ Ἱππικὸν ἥλατο, τοῖς φιλοσόφοις ἀρέσων· καὶ τίς αὐτῶν οὐκ ἐνείλησεν; Ἦσαν δὲ τὸν ἀριθμὸν ζ'· Κράνος, Κάρος, Πέλοψ, Ἀπελλῆς, Νερούας, Σιλβανός, Κύρβος. Οὗτοι συνῆσαν εἰς τὸ Ἱππικὸν τῷ βα-

§ 64 l. 17—p. 63, 12 in. et p. 63, 20—64, 8 = Treu p. 17, 31 18, 24: inde Codin. II 82 (p. 56, 1 B). Sed Anon. Treu nonnulla confudit; etenim initio responsum Crani exhibet, tum reliquorum responsa, inter quae Crani dictum iterum occurrit Cyrbi Pelopisque verbis interpositum. Verbis non paullum discrepat: Ὅτι Κράνος ὁ φιλόσοφος εἷς ὢν τῶν ἑπτὰ φιλοσ. τῶν σὺν τῇ Εὐδ. ἀνελθόντων ἐξ Ἀθηνῶν, ᾔτησε τὸν Θεοδ. ἰδεῖν τὰ ἐν τῷ ἱπποδρ. στοιχεῖα· καὶ ἰδὼν τὸν περιχύτην καὶ τὸν ὄνον εἶπε· τίς ὁ στήσας; τοῦ δὲ ἀναγνώστου εἰπόντος· Οὐαλεντινιανός· ὢ συμφορά, ἔφη, ὅτι ἄνθρωπος ὄνῳ ἀκολουθεῖ· ἦσαν δὲ οἱ φιλόσ. οὗτοι οἱ ἑπτά· Κράνος κτλ. — Κύρβος· θεωρούντων δὲ ἱππεύοντα τὸν βασιλέα καὶ θαυμαζόντων ἔφη βασιλεύς· τί θαυμάζετε; ἀπεκρίθη δὲ Ἀπελλῆς· θαυμάζω εἰδώς, ὅτι τῶν

8 εὐφημιῶν P, corr. Comb. 12 κατὰ χάριν θεοῦ? 16 ἀρέσκων Comb. καί τις P (?) ἐνέλησεν P, corrigebam: cf. ἐξειλέω apud Theophanem, περιέλησε in cod. R infra in narratione de H. Sophia § 16 18 οὐλβανός P

*σιλεῖ θέας ⟨χάριν⟩ Ὀλυμπίων. Ὁ δὲ βασιλεὺς Θεοδόσιος
ὁρῶν τοὺς φιλοσόφους θαυμάζοντας φησὶν πρὸς αὐτούς·
'ὦ φιλόσοφοι, εἰ θαυμάζετε, κατεφιλοσοφήθητε.' Ὡς παραυ-
τίκα ἀποκριθῆναι ἕνα ἐξ αὐτῶν, Ἀπελλῆν ὀνόματι, καὶ εἰ-
πεῖν· '† μὴ θαυμάσιν ἐμὲ τοὺς ἵππους τῷ ἐπιβάτῃ, εἰδὼς
ἀκριβῶς ὅτι ἵπποι ἀνθρώπων ἐπιβάται γενήσονται, ἀλλασ-
σομένων τῶν Ὀλυμπίων, καὶ τὸ θαυμάζον ἀμβλυωπιάσει.'
Νερούας δὲ ἀπεκρίνατο· 'κακὸν τῇ βασιλίδι στοιχεῖον· ὁρῶ*
B 185 *τὸ στοιχεῖον τοῖς στοιχείοις συντρέχοντα.' Καὶ ὁ Σιλβανὸς
ἰδὼν τὸ πρὸς μεσημβρίαν ζώδιον, εἰς τὸ ἄνω τὸ γόνυ
† κάβου δίκην κεκμηκότα, φησίν· 'καλῶς ὁ στοιχειωσάμενος'*

Ὀλυμπίων ἀλλασσομένων ἵπποι γενήσονται ἀνθρώπων ἐπιβάται καὶ τὸ θαυμάζον ἀμβλυωπιάσει. Νερούας ἔφη· κακὸν τῇ βασιλίδι, ὅτι τὸ στοιχεῖον τοῖς στοιχείοις ἐπακολουθεῖ· καὶ ὁ Σιλβανὸς ⟨ἰδὼν⟩ τὸ ὀκλάζον ζῴδιον ἔφη· καλῶς ἐστοχάσατο· καιροὶ γὰρ ἐπὶ τούτου ἀγόνατοι ἔσονται· ὁ δὲ Κύρβος κτλ., tum *ὁ δὲ Κράνος* . . (v. quae supra dixi) *Πέλοψ δὲ* . . *Κάρος δὲ* . . *-συνέστηκεν* haec fere congruentia. Cf. praeterea Tzetzae iambos 270 sqq. in calce chiliad. ed. Kiessling p. 519: *Ὄνος δὲ χαλκοῦς ἱππικοῦ πινύσκεται | ἔμπροσθεν ἑστώς, ἐκ δὲ τῶν ὀπισθίων ἄνθρωπος οἰκτρὸς ζωγραφῶν τὸν νῦν βίον, | ὡς εἶπε τὸ πρὶν Ἀττικὸς σοφὸς Κράνος, | ἔφασε καὶ γὰρ τῷ κρατοῦντι τῷ τότε· | Φεῦ συμφορᾶς, ἄνθρωπος ἥττων ὢν ὄνου· | ἔσται χρόνος γὰρ τοῖς μεθύστερον χρόνοις, | ὅταν ὀνώδεις δυσγενεῖς καὶ καυλίαι | καὶ πᾶς ἄμουσος εἰσρυεὶς κτηνωδίαν | κρείττων νομισθῇ τῶν σοφῶν καὶ κοσμίων.*

1 *θέας ὀλύμπιον* P, corr. et *ἕνεκεν* suppl. Comb.; cf. § 39 *θέας χάριν*, § 40 *θέας τοὔνεκεν* 2 an *θαυμάζοντας ⟨ἱππεύοντα αὐτόν⟩*? 5 *μὴ θαυμάζειν ἐμὲ κτλ.* Lamb. in textu, *μὴ θαυμάζομεν τῶν ἵππων τοὺς ἐπιβάτας, ἀλλ' εἰδότες κτλ.* idem in notis; fortasse *μὴ θαυμάζειν τοῦ ἵππου τὸν ἐπιβάτην εἰδὼς κτλ.*, quod pro *εἰδότα* posuisse scriptorem non mirum 6 *γεννήσονται* P 7 *ἀμβλωπιάσει* P, *ὁ μὴ θαυμάζων ἀμβλυωπήσει* Lamb. cui adversatur Comb. ('tanta futura miraculi vis, ut oculos hebetet') 8 *κακὸν τῇ βασιλίδι τῶν πόλεων, ὅτι στοιχεῖον ὁρῶ τῷ στοιχείῳ τῆς τύχης συντρέχον* Lamb. 9 *ὁ ἠλβανὸς* P 11 *καμπτὸν, δίκην κεκμηκότος* Lamb., *κα-*

καιροὶ γὰρ ἐπὶ τούτου ἀγόνατοι ἔσονται.’ Ὁ δὲ Κύρβος ἐν τῷ δήμῳ ὁρῶν εἶπεν· ‘ὦ δῆμε, δι’ ὃν δήμιοι περισσεύουσι.’ Πέλοψ δὲ τοὺς ὅρους τῶν ἵππων ἰδὼν εἶπε· ‘τίνος τὸ πρόβλημα;’ Θεοδοσίου δὲ φήσαντος ‘Κωνσταντίνου’, εἰπεῖν ἐκεῖνον· ‘ἢ φιλόσοφος ἄκυρος ἢ βασιλεὺς οὐκ ἀληθής.’ Ἑώρα γάρ τι ὁ φιλόσοφος θηλύμορφον ζώδιον, τετραμερέσι ζωδιακοῖς γράμμασι γεγραμμένον, καὶ εἶπεν· ‘ὦ τετραπέρατε, ἐξ οὗ Κωνσταντῖνος καὶ ἀπέρατοι ἔσονται.’ Κάρος δὲ προτραπεὶς παρὰ τοῖς φιλοσόφοις λαλῆσαι φησίν· ‘δυστυχῆ μοι τὰ πάντα φαίνεται, ὅτι, εἰ ταῦτα τὰ στοιχεῖα, ὡς πειρῶνται, ἀληθεύσουσιν, ἵνα τί ἡ Κωνσταντινούπολις συνέστηκεν;’ Κράνος δέ, ὅστις καὶ λογιστὴς τῆς Ἀθηνῶν φιλοσοφίας ἐλέγετο, μειδιῶν ἐπεκοκκυία. Τοῦ δὲ βασιλέως πυνθανομένου ‘τίς ἡ αἰτία;’ † ⟨. . . .⟩ατο ἐναρκία τὸ πλεῖον γελῶν ἢ σκώπτων. Νάρκισσος δὲ πραιπόσιτος δίδωσι τῷ φιλοσόφῳ ῥάπισμα εἰπὼν πρὸς αὐτόν· ‘τῷ Ἡλίῳ ὡς Ἡλίῳ ἀποκρίνου, σκότος ὑπάρχων.’ Τοῦ δὲ καὶ τὴν ἄλλην στρέψαντος, δίδωσιν ὁ Νάρκισσος. Ὁ δὲ φιλόσοφος τῷ Ναρκίσσῳ ἔφη· ‘οὐ διὰ σὲ λαλήσω, ἀλλὰ τοῖς γράμμασι δυσωπούμενος.’ Τὸ δὲ πρόβλημα τοῦ Κράνου τοιοῦτόν ἐστιν· ᾔτησεν τῷ βασιλεῖ τὰ ἐν τῷ Ἱππικῷ στοιχεῖα θεάσασθαι. καὶ

μίλλου δίκην κεκμηκότος (?) Comb., καμήλου δίκην κεκμηκότος Du Cange; an κάβου (a *κάβος = καβάλλος? cf. Thesaur. Gloss. ed. Goetz s. v. cabo = caballus) vel καμήλου δίκην κεκυφότα (sc. ζώδιον)? cf. Treu τὸ ὀκλάζον ζώδιον καλὸς P στοχασάμενος P, corr. Lamb. 2 ἐν τῷ δήμῳ] τὸν δῆμον Tr. 3 ὅρους Tr. 5 οὐκ ἀληθής] εὐήθης Comb. 6 τι] τινὰ P; hic inserunt vocem Κάρος Lamb., Κράνος alii 10 πηρῶνται P, locus corruptus esse videtur 11 ἀληθεύουσιν Tr. 12 λογισθεὶς P, corr. Lamb. Ἀθηναίων Lamb. 13 ἐπεκεκοκκυῖα P; ἐπεκόκκυζεν? 14 lacunam indicavi; ἀπεκρίνατο τἀναντία Lamb., ἐναντία Comb., magis placet ἀπεκρ. ἄναρθρα vel διεμείνατο ἐν ἀργίᾳ 15 γελῶ εἰσκόπτειν P, γελῶν καὶ σκ. Lamb. 16 ῥαπίσματα Comb. 19 διὰ σὲ P 20 κρόνου P 21 ᾔτω ἐν τῷ βασιλεῖ P; αἰτεῖν τινι etiam p. 35, 6

τοῦ βασιλέως κελεύσαντος εἵλετο εὐθὺς ἐκεῖνος. Ἔστι δὲ
B 186 ἀνδροείκελον τὸ ἄγαλμα περικεφαλαίαν τῇ κεφαλῇ περιέχον, γυμνόν τοι ὅλως καὶ ἐν τοῖς βρετγάνοις διδύμοις ἐπικεκαλυμμένον. Τοῦ δὲ φιλοσόφου πυθομένου ‘τίς ἄν’ ἔφη ‘ὁ στήσας;’ ἔφη τις ἀναγνώστης ὅτι ‘Οὐαλεντινιανὸς τοῦτο προὔθηκεν’· εἶπεν δὲ ὁ φιλόσοφος· ‘πότε καὶ τὸν ὄνον;’ τοῦ δὲ φήσαντος ‘ὁμοῦ’, εἰπεῖν ἐκεῖνον· ‘ποτὲ ὄνος ὡς ἄνθρωπος ἔσται· ὢ συμφορά, ὅτι ἄνθρωπος ὄνῳ ἀκολουθεῖ.’ Ἀλλὰ μὴ ἔστω ⟨τὸ⟩ τοῦ μάντεως. Τοῦτο τὸ πρόβλημα εὑρέθη ἐν τοῖς τόμοις Λέοντος τοῦ μεγάλου, ὃ ἐφιλοσόφησε Κράνος, παρὰ Λιγυρίου ἀστρονόμου καὶ ὑπάτου τοῦ αὐτοῦ βασιλέως Λέοντος.

65. Ἀσκληπιόδωρος ἐπὶ Ἀναστασίου ἰδὼν τὸ ζώδιον τὸ μέγα, τὸ ἐν τῷ Ἱππικῷ τὴν χεῖρα ἐπὶ τοῦ προσώπου κατέχοντα, ἔφη· ‘ὢ βία, ὅτι πᾶσα ἀνθρωπίνη ἔνδεια εἰς μίαν ἀνθρώπου φρόνησιν ζυμωθεῖσα.’ Καί τις αὐτῷ ἐπέδειξε γράμματα ἐν τῷ μαρμάρῳ· τοῦ δὲ ὑπαναγνόντος, φησίν· ‘ἀγαθὸν μὴ φθάσαι τοῖς τότε μέλλουσιν εἶναι· ὡς κἀμοί τι κέρδος τοῦ μὴ ἀναγνῶναι’.

66. Δέον γινώσκειν ὅτι ἡ στήλη ἡ καλουμένη Ταῦρος Θεοδόσιός ἐστιν ὁ μέγας· ἐν ᾗ ποτε ἐδέχετο ὁ βασιλεὺς τοὺς

§ 65 Treu p. 18, 25 sq.; inde Codin. II 83 (p. 57, 9 B)
§ 66 l. 20—p. 65, 1 = Treu p. 19, 1 sqq.: *Ὅτι ἡ ἐν τῷ ταύρῳ*

1 *εἵλετο*] *εἰσήλατο*? 2 Eadem statua ('Nicon' post Nicandrum asinum) memoratur a Niceta Acom. de sign. Cpol. 6 *τὸ* P] *τι* edd. *ἐπικεφαλαίαν* P 3 *βρετγάνοις* = *αἰδοίοις*? vox alibi non occurrit 5 *βαλεντινιανὸς* P 8 *ὢ τῆς συμφορᾶς* Treu altero loco; cf. infra l. 15 *ὢ βία* 9 *τὸ* inserui; *ἀλλὰ μὴ ἔστω· τοῦ μάντεως τοῦτο κτλ.* interpungunt Comb. et Band. 11 *κρόνος* P *Λιγουρίου* Lamb. in textu, *Ὀλυβρίου* in notis; cf. § 5b *ἀστρονόμων ὑπάτου*? Comb. 13 *Ἀσκληπιόδοτος* Lamb. 14 *κατέχον* Tr. 16 *ἐζυμώθη* Tr. *ὑπέδειξε* Tr. 17 *φράσαι τὰ τότε μέλλοντα* Lamb. *τὰ τότε μέλλοντα εἶναι* Tr. 18 *κάμὲ* P, corr. ex Tr.

ἀπὸ τῶν ἐθνῶν δυνάστας. Ἀργυραῖα δέ τις ἦν πρώην, ὡς ὁ Σωζομενὸς διδάσκει. Κλήμης δὲ τὰς ὁμοίας καὶ πολυμόρφους μαρμαρίνας Κωνσταντίνου εἶναι φάσκει τοῦ υἱοῦ Κώνστα.

67. Ὁ Πιττάκης ὁ λεγόμενος Λέων ὁ μέγας ἐστίν, ὁ παρὰ τ⟨οῖς⟩ πολλοῖς Μακελάριος λεγόμενος· καθ' ἥ⟨ν⟩ τὰ δεξίματα τῶν | βασιλέων ἐκεῖσε ἐγένοντο. Ἀλλὰ καὶ παλάτιον ἦν ποτε συνιστάμενον πλησίον τῆς παλαιᾶς ἐκκλησίας τῆς ἁγίας Εἰρήνης, καθὼς Ἰωάννης ὁ Διακρινόμενος λέγει. B 187

68. Δέον γινώσκειν ὅτι τὸ λεγόμενον Αὐγουσταῖον στήλας τρεῖς διαδέχεται· Κωνσταντίνου τὸ πρῶτον, ἐν ο⟨ἷς⟩ καὶ βασιλικαὶ ἦσαν κάτω ε΄ τοῦ κίονος, Κωνσταντίου, Κώνσταντος καὶ Κωνσταν⟨τίνου⟩ [Κώνσταν] τε καὶ Λικινίου· ἀλλὰ καὶ ὕστερον Ἰουλιανοῦ. Ἐπὶ Θεοδοσίου οὖν τοῦ μεγάλου στήλη ἑτέρα τῷ κίονι διαδέχεται, ἀργυραῖα καὶ αὐτή, ἀλλὰ καὶ Ἀρκαδίου καὶ Ὁνωρίου πρ⟨ὸς⟩ τῇ γῇ, ὡς ὁ Θεόδωρός φησι. Ἐν δὲ τοῖς Σωζομενοῦ γράμμασι, φησίν, Ἰουστινιανός ἐστιν, ὃ νῦν καθορᾶται τὸ μέγιστον τοῦ Φόρου

στήλη τοῦ Θεοδοσίου ἐστίν· ἦν δὲ πρώην ἀργυρᾶ· ἔνθα τοὺς ἀπὸ τῶν ἐθνῶν ἥκοντας ἐδέχετο· ἦσαν γὰρ πρώην ἐκεῖ παλάτια. (Verba extrema Anon. Tr. ex fine § 67 excerpsit). Inde Codin. II 47 (p. 42, 15 B)

2 σωζόμενος P 3 i. e. Constantini Pogonati 5 πήταξ an πήτακ(ις) scriptum fuerit in P, ob marginem succisum discerni non potest. Item post παρατ (sic) et καθη (6) margo abscisus 7 τὰ δεξήματα P. Corrigere posses τὰ δέξιμα τὰ τῶν κτλ., sed nominis δέξιμον casus etiam suffixis -ατος κτλ. formari posse, etsi aliud exemplum non novi, tamen ex analogia vocis ἀλλάξιμον negare non licet 11 ἐνο | margine absciso P; ἐν ᾧ editores 12 βασιλικαὶ sc. στῆλαι an ε΄ κάτω? 13 Post Κώνσταν priore loco positum margo abscisus; alterum seclusi (Κωνσταντίας Band.) 15 διαδέχεται passive 16 post πρ margo abscisus 17 σωζομένου P

ζώδιον. Καθά φησι Θεοδώρητος καὶ Εὐσέβιος, ἐν οἷς δοκοῦσι σφάλλεσθαι βιβλίοις, Ἕλληνος εἶναι στήλην· καθ' ἣν ἀφιερώσας ὁ μακάριος Κωνσταντῖνος δι' εὐχῆς ἔστησεν. Ἐν δὲ τοῖς Ἀπολλιναρίου καὶ Ἀλεξάνδρου συγγράμμασιν Κωνσταντίνου εἶναι τοῦ μεγάλου, καθὰ καὶ Μιλίχιος ὁ χρονογράφος ἐξηγήσατο.

69. Ὁ τρίπους ὁ ἐν τῷ Στρατηγίῳ τῷ μεγάλῳ, καθὰ Προμούντιος Ἀλέξανδρον λέγει εἶναι τὸν Μακεδόνα. Ἐπιστώσατο δὲ καὶ ἐκ τῶν γραμμάτων, καὶ ὅσοι τοῖς γράμμασιν αὐτοῦ ἐμφιλοχωροῦσι, μάλιστα οἱ ταῖς μαντείαις στοιχοῦντες, ἐπιγινώσκουσι τὸν Ἀλέξανδρον εἶναι. Γράφει δὲ ὁ αὐτὸς καὶ Κωνσταντῖνον τὸν ἅγιον ἐκεῖ πρῶτον φόρον τῇ πόλει ταύτῃ ἀναστῆσαι.

B 188 70. Τὸ καλούμενον Φιλαδέλφιν Κωνσταντίνου εἶναι τοῦ μεγάλου τοὺς υἱούς, ἀπὸ Γαλλίας τὸν ἕνα πρὸς τὴν Κωνσταντινούπολιν ἐλθόντα μετὰ τὸν θάνατον τοῦ πατρός· μεγάλης τε ὑπαντῆς καὶ χαρᾶς γενομένης ἀσπάσασθαι ἀλλήλους καὶ παρευθὺ στήλας αὐτῶν ἀνεγεῖραι τῇ πόλει τὸ σχῆμα ὑποσωζούσας. Ἰουλιανοῦ δὲ στήλη καὶ Ἀναστασίας τῆς αὐτοῦ γαμετῆς, ἣν διὰ τὸ εἶναι Χριστιανὴν ἐξέβαλε τῆς βασιλείας. Αὐτὴ δὲ ἐν τῷ μοναστηρίῳ τῶν Προμούντου ἀπε-

§ 70 l. 14—19 = Tr. p. 19, 5 sqq.: Τὸ καλ. Φιλαδέλφιον υἱοί εἰσι τοῦ μ. Κ.· ἡνίκα γὰρ Κ. ἐτελεύτησε, τοῦ Κωνσταντίου ὄντος ἐν τοῖς ἀνατολικοῖς μέρεσι, Κωνσταντῖνος ἀπὸ τῶν Γαλλιῶν ἐρχόμενος συνήφθη Κώνσταντι καὶ ἀσπάζονται ἀλλήλους· οὐχ ὅτι ἐκεῖ συνήφθησαν, ἀλλὰ τῆς ὑπαντῆς αὐτῶν ἐκεῖσε ἀναστηλωθείσης. Inde Codin. II 48 (p. 43, 13 B)

1 Dubito utrum interpungam post καθορᾶται (p. 65, 18) an post ζώδιον 2 exspectamus ἣν ἀφιερώσας, sed cf. p. 68, 5 4 συγγράμμασιν ⟨φέρεται⟩? 10 στοιχειοῦντες P, corr. E. Kurtz; cf. Malal. p. 460, 5 δεξάμενος τὰ γράμματα καὶ στοιχήσας ('acceptis litteris et perlectis') 19 ὑποσωζούσαν P Iuliani coniux ab aliis scriptoribus Helena Constantia nominatur

κείρατο. Αἱ δὲ αὐταὶ στῆλαι μέχρι τοῦ νῦν σώζονται ἐν τῷ Φιλαδελφίῳ.

71. Ὁ λεγόμενος Ξηρόλοφος στήλην μὲν ἔχει, καθὼς ὁ Διακρινόμενος λέγει, τοῦ μικροῦ Θεοδοσίου καὶ Οὐαλεντινιανοῦ κάτωθεν τοῦ κίονος καὶ Μαρκιανοῦ. Σεισμοῦ δὲ γενομένου πεπτωκέναι τὴν στήλην, καὶ ὡς λόγος λέγει, ἀνελθεῖν αὐτὴν ἄνωθεν τῶν ἑπτὰ κιόνων· καὶ ὑποστρέψαι ⟨τὴν⟩ Μαρκιανοῦ καὶ Οὐαλεντινιανοῦ ἐν τῷ Τριβουναλίῳ.

72. Ὁ λεγόμενος Νεώριος ὁ καὶ Ἀρκάδιος· ὃν Κόνων ἐστοιχειώσατο, εὑρὼν τὸν τόπον πλείστοις πόνοις Κωνσταντίνου τοῦ μεγάλου πονηθέντα· ἐν ᾧ καὶ αἱ ἀγοραὶ τῶν θαλασσίων ἐμπορευμάτων πρώην ὑπῆρχον ἐκεῖ· ἐπὶ Ἰουστινιανοῦ δὲ μετεποιήθησαν εἰς τὸν Ἰουλιανοῦ λιμένα.

73. Ὁ Ζεύξιππος τὸ λουτρὸν Σευῆρος καλεῖται· ὑπὸ Σευήρου γὰρ ἐκτίσθη. Σὺν αὐτῷ δὲ καὶ τὸ Ἱπποδρόμιον τὸ πρῶτον ἔλαβε κτίσμα ἐν ὀλίγῳ. Αἱ Κωνσταντιαναὶ ὑπὸ Κωνσταντίνου τοῦ μεγάλου ἐκτίσθησαν, καὶ ἡ λεγομένη Φόσσα. Στῆλαι B 189
δὲ πολλαὶ οὖσαι ἐν Κωνσταντιαναῖς διέπεσαν ἄξιαι θαύματος.

74. Ὁ ἀγωγὸς ὑπὸ Οὐάλεντος τοῦ Ἀρειανοῦ ἐκτίσθη, καθὼς γράφει Θεόδωρος· ἡ βασιλικὴ κινστέρνη ὑπὸ Κων-

§ 71 l. 3—6 (—στήλην) = Tr. p. 19, 13 sq.; inde Codin. II 19 (p. 30, 1 B) § 72 Treu p. 19, 18 sq.: Ὅτι τὸ νεώριον ὁ Κόνων ἐστοιχειώσατο· ἐν ᾧ κτλ.; inde Codin. II 68 (p. 52, 5 B) § 73 l. 14—16 (—ὀλίγῳ) = Treu p. 19, 22 sq.; inde Codin. II 33 (p. 36, 16 B) § 74 l. 19 = Treu p. 19, 25; inde Cod. II 69 (p. 52, 8 B). — L. 20—p. 68, 3 = Treu p. 19, 27 sq.

3 εἶχε Tr. 4 βαλεντινιανοῦ P 5 κάτωθεν τοῦ κίονος post Μαρκ. ponit Tr. 7 τὴν vel τὰς supplendum esse censeo 8 βάλεντος P 9 τὸ λεγόμενον Νεώριον ὁ Ἀρκάδιος ἐτειχίσατο Lamb. 13 ἰουστιανοῦ P 14 Σευῆρος καλ. om. Tr., Σευήρου Du Cange, Banduri 16 αἱ] καὶ Comb. 17 φοῦσσα P; φόσσα scribit P p. 34, 17, φωσάτον p. 54, 19 (scripturam codices saepissime variant; cf. de Boor ind. Theophan.) 20 στέρνη P

σταντίνου τοῦ μεγάλου· ἡ δὲ Χρυσορόη ὑπὸ Λικινίου κατ' ἐπιτροπὴν Κωνσταντίνου. Ἡ δὲ χαλκῆ στήλη ἡ ἐν τῇ βασιλικῇ κινστέρνῃ καθημένη Θεοδοσίου τοῦ μεγάλου ἐστίν. Ἡ στήλη ἡ ὄπισθεν τῆς Μαγναύρας κατὰ τὸ ἀνατολικὸν μέρος τοῦ Ἡλιακοῦ μετεώρου Φωκᾶ ἐστιν, καθ' ἣν ἐν τῷ ἑβδόμῳ ἔτει τῆς βασιλείας αὐτοῦ σπουδὴν πολλὴν περὶ τοῦ ἀνελθεῖν ἐπεδείξατο. Μοναχὸς δέ τις ἐκ τῆς τοῦ ὁσίου Θεοδώρου τοῦ λεγομένου Σικεὼν μονῆς — κατὰ ταῦτα γὰρ καὶ ὁ μακάριος Θεόδωρος ἦν ἐν ταῖς ἡμέραις τοῦ αὐτοῦ Φωκᾶ ἐπὶ Θωμᾶ τοῦ νέου πατριάρχου Κωνσταντινουπόλεως, ὃς καὶ σύνθημα ἐποίησε παρακαλέσας τὸν ὅσιον Θεόδωρον εἰπεῖν τῷ Φωκᾷ παύσασθαι ἐκ τῶν ἀκαίρων φόνων· ὃ καὶ ποιήσας ὁ ὅσιος παρῄνει τῷ βασιλεῖ μὴ ἀπανθρώπως χρῆσθαι τοῖς ὑπηκόοις. Ὁ δὲ βασιλεὺς ᾔτησεν σημεῖον παρὰ τοῦ πατρὸς εἰς αὐτὸν γενέσθαι διὰ τὴν ποδάγραν καὶ παύσασθαι τῶν πολλῶν φόνων. Εὐξαμένου δὲ τοῦ ὁσίου ἐρρύσθη τῆς νόσου. Αὐτὸς δὲ οὐδὲ οὕτως ἐπαύσατο ἀποκτένων. Ὁ δὲ προειρημένος μοναχὸς ἐθάρρησέ τινι περὶ τοῦ Φωκᾶ, ὅτι κατὰ τὸν

---

inde Codin. II 40 (p. 38, 15 B). — L. 4 sqq. = Treu p. 19, 30 sqq.: *Περὶ στήλης τοῦ ἀρμαμέντου* (cf. Theophan. p. 274, 22—24): *ἡ στήλη ἡ εἰς τὸ ἀρμαμέντον τοῦ Φωκᾶ ἐστι καὶ ἐν τῷ ἑβδόμῳ ⟨ἔτει⟩ τῆς βασιλείας αὐτοῦ περὶ τὸ τέλος σπουδάζων ἀναγαγεῖν αὐτὴν ἐν τῷ κτιστῷ κίονι μετὰ τὸ ἀναγαγεῖν αὐτὴν δεκαοκτὼ παρελθουσῶν ἡμερῶν κατηνέχθη τῆς βασιλείας· τότε δὲ ἦν Σικεὼν* (cod. *σιμεὼν* [?]) *ὁ ὅσιος*. Inde Codin. II 34 (p. 36, 20 B)

---

1 *Χρυσορρόη*? 4 *μέρους* P 7 sqq. Eadem historia in vita S. Theodori qui dicitur Syceota ap. Theoph. Joannu *Μνημεῖα ἁγιολογ.* p. 480 sqq. 8 *σικαιῶν* P, *συκεώτου* Lamb., sed cf. cod. Paris. gr. 1534 fol. 95 *βίος Θεοδώρου τοῦ Σικεών*. Inc. *Ὁ . . . Θεόδωρος ὁ λεγόμενος Σικεὼν κτλ.* (Catal. codd. graec. hagiogr. bibl. Paris.) *ταύτα* P, *ταυτὸν* Comb. 15 *παύσεσθαι*? 17 *ἀποκτένων* P; Byzant. codd. et *κτένειν* et *κτέννειν* scribunt, cf. ind. Theophan. s. v. *ἀποκτέννω* 18 *κατὰ*] *μετὰ* Comb.

καιρὸν τοῦτον δεινῷ θανάτῳ θνήσκει, ἔτι φιλοσοφοῦντος Σεργίου τοῦ μετὰ τὸν νέον Θωμᾶν ἐπισκοπήσαντος· αὐτὸς γὰρ καὶ τῷ μοναχῷ ἐθάρρησεν. Ἔρχεται οὖν τοῦτο ἐν τοῖς ὠσὶ τοῦ βασιλέως Φωκᾶ ἔτι | τῆς στήλης ἐλαυνομένης· καὶ B 190 τοσαύτῃ σπουδῇ ἐχρήσατο περὶ τῆς ἀναβάσεως τῆς στήλης, ὥστε, καθὼς οἱ τότε ἐξηγήσαντο, ἔτι καὶ ἔτι πλείω φόνους αὐτὸν πεποιηκέναι. Ἀλλὰ καὶ χρήματα πάμπολλα τοῖς δουλεύουσιν ἐχαρίσατο πρὸς τὸ ταχῦναι· καὶ μετὰ ιη΄ ἡμέρας τοῦ σταθῆναι τὴν αὐτὴν στήλην κατηνέχθη τῆς βασιλείας, οὐδὲν ἄμεινον ὧν ἔπραξεν ἀπενεγκάμενος, τὸν πικρὸν θάνατον.

75. Ἐν τοῖς λεγομένοις Μαρινακίου στήλη ἵστατο, ἐν ᾗ καὶ παράδοξον θέαμα γέγονε. Σεισμοῦ γὰρ γενομένου καὶ παντὸς τοῦ τόπου ἐκείνου ἀπὸ θεμελίου φθαρέντος καὶ τῆς στήλης πεσούσης κάτω τοῦ κίονος σταθῆναι αὐτὴν ὀρθήν, ὡς οἱ πρὸ ἡμῶν ἐξηγήσαντο. Δοκιμασθείσης γὰρ τῆς στήλης εἰς τὸ ἀρχαῖον ἀνατεθῆναι, ἔμεινεν ἄχθος βαρύτατον ἔχουσα. Τοῦτο δὲ ἔλεγον γίνεσθαι ἕως πλειόνων καιρῶν. Τὴν δὲ στήλην εὑρίσκομεν εἶναι Οὐαλεντινιανοῦ τοῦ νεωτέρου· ὥς τινα φιλόσοφον διασαφήσασθαι τότε διὰ τὸν ἄδικον θάνατον Οὐαλεντινιανοῦ τοῦ νεωτέρου † σημειωθῆναι τὴν στήλην· ἕως γὰρ τότε δικαίαν ψῆφον ἀπένεμον τὸν θάνατον τοῦ Ἀετίου.

76. Ἐκ τῆς λεγομένης Νικομηδείας στῆλαι πλεῖσται ἐν

§ 76 Treu p. 20, 4 sq.; inde Codin. II 73 (p. 53, 1 B.)

9 τὸ σταθῆναι P 10 ἢ τὸν πικρὸν θάνατον Comb., cui adversatur E. Kurtz ('er trug nichts Besseres davon, als das gewesen war, was er gethan hatte, nämlich den bittern Tod') 11 μαρτινακίου Lamb.; sed cf. index Synax. Sirmondi in Anall. Bolland. 1895 p. 425: πέραν ἐν τοῖς Μαρινακίου 18 et 20 βαλεντινιανοῦ P 20 σημειωθῆναι = στοιχειωθῆναι? Comb. 21 locus item corruptus; exspectamus hanc sententiam: ἕως γὰρ τότε δικαίαν ψῆφον (= iudicium) ἀπένεμον (= ἐνόμιζον?) τὸν θάνατον ⟨αὐτοῦ διὰ τὸν θάνατον⟩ τοῦ Ἀετίου 22 ἀντιου P, corr. Lamb.

τῇ Κωνσταντινουπόλει ἥκασιν. Ὅθεν καὶ Διοκλητιανοῦ ἐν τῷ Ἱπποδρομίῳ σώζεται ἕως τῆς δεῦρο, ἐπίκυφος οὖσα, ἀναμέσον τοῦ λεγομένου καθίσματος.

77. Μαξιμιανοῦ στήλη ἐν τοῖς τῆς Χαλκῆς μέρεσι ὑπάρχει βαρυτάτη πάνυ. Ἔνθα καὶ τὸ γένος ἅπαν Θεοδοσίου τοῦ Σπάνου καθορᾶται ἐν στήλαις ἕως τῆς σήμερον.

B 191 **78.** Αἱ Γοργονίδαι λεγόμεναι αἱ τέσσαρες ἐκ τῆς Ἐφέσου ἥκασιν ἀπὸ τοῦ τῆς Ἀρτέμιδος ναοῦ, αἳ κατὰ τὸν σηκὸν τῆς Χαλκῆς περιφέρονται, ἔνθα καὶ σταυροῦ σημεῖον ἄνωθεν αὐτῶν ἵσταται.

79. Τῆς λεγομένης Ἀρτέμιδος ἡ στήλη ἐν τῷ Ἱπποδρομίῳ ἵσταται, ἔνθα γυμνάζονται οἱ παλαίοντες.

80. Ἐν τῇ Χαλκῇ πύλῃ τοῦ παλατίου Ζήνωνος καὶ Ἀρεάδνης τῆς σώφρονος ἔσχατον καὶ αἰσχρᾶς τὸ πρότερον ἐν κίοσιν ἵστανται πεζαὶ στῆλαι, ἰάμβους ἐλεγείους ἔχουσαι παρὰ Σεκούνδου φιλοσόφου μερισθεῖσαι.

81. Ἡ στήλη ἡ πρὸς τὸ Ζεύξιππον θεωροῦσα, ἤτοι ἔμπροσθεν, Ἰουστινιανοῦ καὶ Θεοδώρας ἐστίν· καθ' ἣν καὶ ἐδοξάσθη Ἰουστινιανός, ὅτε ἐτίθετο ἡ αὐτὴ στήλη, κράζοντος τοῦ Πρασίνου μέρους· "Ἰουστινιανὸς καὶ Κωνσταντῖνος νέοι ἀπόστολοι"· ἐν οἷς καὶ Σοφία ἡ αὐτοῦ γαμετὴ παρὰ Πλούμβα τοῦ φιλοσόφου ἰαμβικοῖς μέτροις τοὺς ἐπαίνους ἐδέξατο.

§ 77 Treu p. 20, 8 sq.; inde Codin. II 28 (p. 34, 20 B) § 78 Treu p. 20, 11 sq.; inde Codin. II 28 (p. 34, 5 B) . § 79 Treu p. 20, 15 sq.; inde Codin. II 74 (p. 53, 12 B) § 80 Treu p. 20, 18 sq.; inde Codin. II 28 (p. 34, 3 B)

2 *ἐπίκουφος* Lamb. 7 *γοργόνες* Tr. 8 *σηκὸν*] *οἶκον* Tr. (*καταντικρὺς τῆς Χαλκῆς* Lamb.) 9 *φέρονται* Tr. 12 *δοκιμάζονται* Tr. 15 *ἐλεγεῖα* (*ἰάμβους* om.) *ἔχ. Σεκ. φιλ.* Tr. De Secundo philos. cf. Krumbacher Byz. Litt.² p. 557 et Orelli Opuscula Graecorum veterum sententiosa I 208 sqq. 16 *μερισθεῖσαι*] cf. p. 27, 4 21 *Σοφία*] aut cum Lamb. *Θεοδώρα* scribas necesse est aut pro *αὐτοῦ* ponas *Ἰουστίνου* *Πλουμβάτου* Lamb.

82. Ἡ ἐν τῷ παλαιοτάτῳ λουτρῷ ὑπάρχουσα στήλη ἐκ χρωμάτων, ἤτοι τὸ Ζεύξιππον, Φιλιππικοῦ τοῦ πράου ἐστὶν τοῦ κατὰ ἄγνοιαν πλανηθέντος· ὡς δὲ ἔχει λόγος, τοιοῦτον αὐτὸν εἶναι οἷον τὸ πρωτότυπον. Μεγάλως γὰρ ἐπήνεσαν οἱ ζωγράφοι τὸν γράψαντα, ὅτι οὐκ ἐχώρησε τὴν τοῦ βασιλέως μορφὴν πρὸς τὸ ἀρχέτυπον.

83. Ἐκ τοῦ λεγομένου Ἰκονίου στῆλαι ἥκασιν ἐν Κωνσταντινουπόλει πλεῖσται, καθ' ἣν καὶ τοῦ Διὸς ἐν τῷ Ἱπποδρομίῳ σώζεται.

84. | Τὰ τέσσαρα ἱππάρια τὰ χρυσόβαφα τὰ φερόμενα B 192
ἄνωθεν τοῦ Ἱππικοῦ ἐκ τῆς Χίου νήσου ἥκασιν ἐπὶ Θεοδοσίου τοῦ μικροῦ.

85. Ἐκ τοῦ προειρημένου Ἰκονίου Περσέως στήλη καὶ Ἀνδρομέδας θυγατρὸς Βασιλίσκου ὑπαρχούσης, ὡς οἱ μῦθοί φασι καί τις τῶν ἱστορικῶν, δίδοσθαι θυσίαν τῷ ἐκεῖσε ἐμφωλεύοντι δράκοντι. Οὕτως γὰρ ἦν ἐκ παλαιᾶς συνηθείας δίδοσθαι παρθένον κόρην τῷ θηρίῳ· καθ' ἣν Ἀνδρομέδα δεθεῖσα θανάτου † αἰτία τῷ θηρίῳ ἔμελλεν δίδοσθαι. Ὁ γοῦν προειρημένος Περσεὺς ἐκεῖσε ἥκων πύθεται κλαιούσῃ τῇ Ἀνδρομέδῃ, τί ἂν εἴη δεδεμένη καὶ θρηνοῦσα. Ἡ δὲ τὸ

---

§ 82 l. 1—2 = Treu p. 20, 21 sq.: Ἡ ἐν τῷ Ζευξίππῳ λουτρῷ ὑπάρχουσα στήλη ἐκ χρωμάτων τοῦ Φιλιππικοῦ ἐστι τοῦ πρᾳοτάτου. Inde Codin. II 39 (p. 38, 13 B) § 84 Treu p. 20, 24 sq.; inde Codin. II 75 (p. 53, 14 B) § 85 Anon. Treu p. 20, 27 sq. pauca omisit, reliqua fere ad verbum exscripsit. Inde Codin. II 85 (p. 58, 4 B)

---

2 τῷ Ζευξίππῳ Lamb. (cf. Tr.); sed appositionem alio ac legitimo casu poni huic aetati non alienum; v. Malal. p. 128, 19 et not. Dind. 5 Fort. ἐχώρισε, ut χωρίζειν τι dictum sit pro χωρίζεσθαί τινος 13 Ad rem cf. Joh. Antioch. F. H. Gr. 4, 544, 18 (cum notis), Malal. p. 36, 18 (= Chron. Pasch. p. 71), Glycas p. 264, 17 στῆλαι Tr. 14 ὡς] ἣν Lamb. 18 θανάτου αἰτία] vix significare potest morti destinatum; pro eo βορά Tr.

συμβὰν ἐξηγήσατο. Τοῦ δὲ καθίσαντος ἡ
δὲ Γοργόνης κεφαλὴν ἐν πήρᾳ κατέχων
φεὶς δείκνυσι τὸ θηρίον· ὅπερ ἰδὼ
Ἐκλήθη οὖν Ἰκόνιον παρὰ λογιστοῦ
διὰ τὸ ἡκέναι τὸν Περσέα καὶ σῶσαι τ
νον εὐτύχημα τῇ πόλει ἐκ τοῦ ἥκοντ
ὄνομα τῇ πόλει τὸ ἀπὸ γενέσεως Δορία,
νῳδία, παρὰ δὲ Φιλοδώρου τοῦ λογιστ
Περσέα ἐκλήθη Ἰκόνιον. Ἔνθα ἐστηλώ
σὺν τῇ Ἀνδρομέδῃ ἐπάνω τῆς πόρτης
καὶ θυσίαι πολλαὶ γεγόνασιν ἐκεῖσε π
κλητιανοῦ καὶ Μαξιμιανοῦ· ἔνθα πλεῖστ
Ἥκασιν οὖν τοῦ τε Περσέως καὶ Ἀν
B 193 ὡς | λόγος ἔχει, ἐπὶ Κωνσταντίου μετὰ
Ἀντιοχέων ἐκκλησίαν, ἐν τῷ Κωνσταντι

86. Ἀναστασίου στήλη ὑπάρχει ἡ
μάρτυρος Μηνᾶ, ἥτις στήλη ἐστάθη μετ
βοοθυσίαν τῶν εἰδώλων καὶ γενέσθαι
τοῦ βασιλέως τοῦτο κελεύσαντος ἐπὶ τὸ ἀτ

87. Ἐν τῇ καλουμένῃ Ἀετίου κινστέ

§ 87 Treu p. 21, 13 sq.: Ἐν τῇ κα
ὑπὸ Ἀ. πατρικίου ἐκτίσθη ἐπὶ Οὐάλεντ
αὐτοῦ Ἀετίου (nil ultra). Inde Codin. II

3 τῷ θηρίῳ Lamb., sed cf. Byz. Ze
addit τὸ δηλητήριον ἐκεῖνο Tr.; se
tur δράκων; ὅπερ ἰδὸν ἐκείνην Lamb.
P, Φιλοχώρου hic et l. 8 Lamb. 5 ἡκ
Περσέα δεῖξαι τὴν εἰκόνα ἐκεῖσε Tr.
corrigebam 6 Περσέως] περσαίου P
(δαναεία Lamb.); ad nomen cf. Δορίειο
νοί (?) Buresch Aus Lydien p. 78 ἐπ
(ἐπλήσθη θρηνῳδίας καὶ ἔκτοτε ἐκλήθη θ
λειώθη P et Tr, corrigebam 10 post
ἐστηλώθη ἀμφότερος καθ' ἣν — 12 ἐμ
15 ἐν τῷ Κωνστ. λουτρῷ in P falso initium su
recte Anon. Treu (ubi Κωνσταντιανῷ)

πατρικίου κτισθεῖσα ἐν ταῖς ἡμέραις Οὐαλεντινιανοῦ· ἔνθα ἡ στήλη αὐτοῦ τοῦ Οὐαλεντινιανοῦ ἐν τῇ κινστέρνῃ σώζεται δορυφοροῦντος αὐτὴν τοῦ Ἀετίου.

88. *Ἡ λεγομένη Ἄσπαρος ὑπὸ Ἄσπαρος καὶ Ἀρδαβουρίου τῶν ἐπὶ Λέοντος τοῦ μεγάλου οἰκοδομεῖται· καθ' ἣν Ἄσπαρ καὶ Ἀρδαβούριος πληρωθείσης αὐτῆς τὸν ὄλεθρον ὑπομένουσιν.*

89. *Τὴν λεγομένην Κράνον νῆσον ἐστοιχειώσατο Βερῖνα, καθ' ἣν οὐδεμία εὑρίσκεται φροντίς, τίνος χάριν ταύτην στοιχειοῦται. Ἐν δὲ τῷ στοιχειωθῆναι τὴν αὐτὴν νῆσον ἀθρόως θάνατοι γεγόνασι πλεῖστοι, ὅθεν ἐρημοῦται διαρκέσασα μέχρι τῶν χρόνων Ἰουστινιανοῦ τοῦ τρίτου τὴν θάλασσαν προστάξαντος ἀναπλῶσαι ἐν αὐτῇ εἰς τέλειον ἀφανισμόν.*

---

§ 88 Treu p. 21, 17 sq.; inde Codin. II 70 (p. 52, 10 B.)

1 et 2 *οὐάλεντος* P, correxi; est Valentinianus III; cf. p. 67, 8   3 *δορυφορούσης* P, correxit Comb.   4 utroque loco *ἄσπορος* P   *ἐπὶ* P, *ὑπὸ* Tr.   10 *αὐτὴν* bis scribit P   12 *τρίτον* = *τρίς* saepe apud Const. Porphyrog.; *τρίτου* legit et scribit Lamb. ceterique   13 *ἀναπλεῦσαι* P, *ἀναπλοῦσαι* Comb., *ἀναπλῶσαι* Bekker (*ἀναπλοῦν* = *ἀναπληροῦν*, cf. Wendland Rh. Mus. 1898, p. 30).

Διήγησις περὶ τῆς οἰκοδομῆς τοῦ ναοῦ τῆς μεγάλης τοῦ θεοῦ ἐκκλησίας τῆς ἐπονομαζομένης ἁγίας Σοφίας.

Ἐστὶν δὲ ἡ οἰκοδομὴ τῆς αὐτῆς ἐκκλησίας ἐν Κωνσταντινουπόλει οὕτως·

Ba(nduri p.) 65 **1.** *Ἡ μεγάλη ἐκκλησία ἡ ἁγία Σοφία, πρῶτον μὲν ἀνήγειρεν αὐτὴν ὁ μέγας Κωνσταντῖνος δρομικήν, ὁμοίαν τοῦ ἁγίου Ἀγαθονίκου καὶ τοῦ ἁγίου Ἀκακίου. Καὶ πληρώσας αὐτὴν στήλας ἔστησε πολλάς. Διήρκεσε δὲ τὸ κτίσμα ἐκεῖνο χρόνους οδʹ. Ἐν δὲ τοῖς χρόνοις Θεοδοσίου τοῦ μεγάλου εἰς τὴν δευτέραν σύνοδον τὴν ἐν Κωνσταντινουπόλει γενο-*

Discrepantia antiquae versionis Latinae, i. e. Radulfi de Diceto (et Radulfi Nigri): 7 *δρομικήν*] amplam

---

1—5 Titulus exstat in PVR, de K et C vide alterum fasciculum 6 post *Σοφία* inserit Z *οὕτως ἐκτίσθη* 6—8 *Τὴν δὲ μεγάλην ἐκκλ. ἤγουν τὴν ἁ. Σοφίαν, εἰδωλεῖα ὄντα ἐκεῖσε πολλὰ καὶ ἀγάλματα ἱστάμενα ἀφεῖλεν αὐτὰ καθὼς προείρηται ὁ μέγας Κωνσταντῖνος καὶ Ἰουστινιανός· ὅμως ὁ μέγας Κωνσταντῖνος πρώην αὐτὴν ἀνήγειρε δρομικὴν ὁμοίαν τοῦ ἁ. Ἀγαθονίκου καὶ τῆς ἁ. Δυνάμεως καὶ τῆς ἁ. Εἰρήνης τῆς παλαιᾶς τῆς οὔσης πλησίον τῆς ἁ. Σοφίας· ἤγουν εἰρήνην, δύναμιν καὶ σοφίαν καὶ νίκην. Πλησίον τῆς μεγ. ἐκκλ. στήλας ἔστησε πολλάς* (*ὡς προείπομεν* add. B) K 7 *δρομικήν*] cf. Codin I 49 (p. 16, 15 Bekk.) *ὁμοίαν κτλ.*] *ὡσὰν τὴν Βλαχέρναν τὸν ναόν* Vind. 129 8 *Ἀνδρονίκου* sine codicum auctoritate Comb. 10 sqq. Falsa tradit auctor, sed nolui corrigere, v. ad p. 75, 8 11 *ἐν κωνσταντίνου πόλιν* RD

μένην στασιάσαντες οἱ Ἀρειανοὶ κατέφλεξαν τὴν στέγην τῆς αὐτῆς μεγάλης ἐκκλησίας, ὄντος πατριάρχου Νεκταρίου τοῦ ἁγιωτάτου ἐν τῇ ἁγίᾳ Εἰρήνῃ τῇ παλαιᾷ καθεζομένου, ἣν καὶ αὐτὴν ἀνήγειρεν ὁ μέγας Κωνσταντῖνος. Διῆλθον δὲ χρόνοι δύο καὶ ἵστατο ἀσκεπής. Προστάξας δὲ Θεοδόσιος ὁ βασιλεὺς Ῥουφῖνον τὸν μάγιστρον αὐτοῦ καὶ ἐστέγασεν αὐτὴν διὰ κυλινδρικῶν καμάρων. Μετὰ δὲ ρλβ΄ χρόνους τοῦ Θεοδοσίου, ση΄ ἐτῶν διελθόντων ἀπὸ τοῦ μεγάλου Κωνσταντίνου, εἰς τὸν πέμπτον χρόνον τῆς βασιλείας Ἰουστινιανοῦ τοῦ μεγάλου μετὰ τὸ γενέσθαι τὴν σφαγὴν ἐν | τῷ Ἱππικῷ Ba 66 (λε΄ χιλιάδων ἐκεῖσε ἀναιρεθέντων διὰ τὸ ἀναγορευθῆναι ὑπὸ τῶν δύο δημοτικῶν μερῶν Ὑπάτιον πατρίκιον καὶ δήμαρχον μέρους Βενέτων) ἐν τῷ πέμπτῳ ἔτει τῆς βασιλείας αὐτοῦ τοῦ Ἰουστινιανοῦ ἐνέπνευσεν ὁ θεὸς εἰς τὴν διάνοιαν αὐτοῦ τοῦ οἰκοδομῆσαι ναόν, οἷος οὐκ ἐκτίσθη ἀπὸ τοῦ Ἀδάμ.

2. Ἔγραψε δὲ καὶ τοῖς στρατηγοῖς καὶ σατράπαις καὶ κριταῖς καὶ φορολόγοις τοῖς ὑπὸ τῶν θεμάτων ἅπασιν ἐρευ-

---

7 rotundis marmoribus (Rad. Niger) 16 Scripsit autem Iustinianus tributariis omnibus qui erant in provinciis omnibus etc.

---

5 δύο] ιβ΄ A_2, ις΄ B 7 μαρμάρων M Vind. 94, cf. Rad. ρλβ΄] τριάκοντα R, λβ΄ PVC, correxi ex K Pal. 239 τοῦ Θεοδοσίου om. M 8 πε΄ codd. praeter M, qui ἔτους διακοσιοστοῦ habet, et Pal. 239, qui σε΄ ἔτους, et Z qui διακοσίων πέντε. ση΄ ego scripsi; nam etsi auctor falsa tradit de Theodosio, tamen reliqui numeri optime consentiunt (324 + 74 + 2 + 132 = 532 i. e. quintus annus Iustiniani) ἔτη διελθόντα R, sequor VF (ἔτη διελθόντων PE, ἔτη διελθόντι D), χρόνοι διῆλθον A, om. BM) 9 τῆς βασιλείας om. R 13 αὐτοῦ τοῦ om. R 15 ἐκτίσθην R 17 ἀκρίταις? τοῖς] ταῖς R, τοὺς C ἅπασιν] ἅπαντας PVRC, cf. Radulf. (ἔγραψε δὲ καὶ τοὺς στρατηγοὺς καὶ τοπάρχας καὶ σατράπας καὶ δοῦκας καὶ πάντας τοὺς ὄντας ἀρχηγέτας πάντων τῶν βασιλικῶν θεμάτων ἀνατολῆς τε καὶ δύσεως κτλ. A, similiter BM)

νὰν πάντας αὐτούς, ὅπως εὕρωσι κιονάς τε καὶ συστεμάτια στήθεά τε καὶ ἀβάκια καὶ καγκελλοθυρίδια καὶ τὴν λοιπὴν ὕλην τὴν ἀνήκουσαν εἰς τὸ ἀνεγεῖραι ναόν. Πάντες δὲ οἱ παρ' αὐτοῦ ὁρισθέντες ἀπὸ εἰδωλικῶν ναῶν καὶ ἀπὸ παλαιῶν λουτρῶν τε καὶ οἴκων ἔπεμπον τῷ βασιλεῖ Ἰουστινιανῷ μετὰ σχιδέων ἀπὸ πάντων τῶν θεμάτων ἀνατολῆς τε καὶ δύσεως, βορέα τε καὶ νότου καὶ ἐκ πάντων τῶν νήσων. Καὶ τοὺς μὲν ὀκτὼ κίονας τοὺς Ῥωμαίους, καθὼς φησιν ὁ Πλούταρχος πρωτασηκρήτης καὶ ἐπιστολογράφος Ἰουστινιανοῦ, μετὰ σχιδέας ἀπέστειλε χήρα γυνὴ ἀπὸ Ῥώμης, ὀνόματι Μαρκία· εἶχε δὲ αὐτοὺς εἰς προῖκα αὐτῆς. Ἵσταντο δὲ εἰς Ῥώμην εἰς τὸν ναὸν Ἡλίου τὸν κτισθέντα παρὰ Αὐρηλιανοῦ βασιλέως Ῥώμης τοῦ προδώσαντος ἑαυτὸν Πέρσαις. Ἡ δὲ προειρημένη Μαρκία ἔγραψε τῷ βασιλεῖ οὕτως· ὅτι 'ἀποστέλλω κίονας ἰσομήκους, ἰσοπλάτους, ἰσοστάθμους ὑπὲρ ψυχικῆς σωτηρίας μου.' Τοὺς δὲ ὀκτὼ πρασίνους κίονας τοὺς ἀξιοθαυμάστους ἐκόμισε Κωνσταντῖνος στρατηγὸς ἀπὸ

1 *πάντας* om. PV *συστεμμάτια* R; in hac voce valde discrepant codd. (cf. Schweizer Gramm. der pergam. Inschr. p. 47 sq.) 2 *καγγελοθυρίδια* R, *καγκελλοθύριδα* EF, *καγκελλοθυρίδας* PVD, *καγγελοθυρίδα* B, *καγκελλοθυρίδες* AM 4 ante *ἀπὸ* inserunt *εὑρόντες* PVM *καὶ παλατίων καὶ λοετρῶν* K 5 *λουετρῶν* RD, *λοετρῶν* P ante *ἔπεμπον* inserunt *καὶ συναγαγόντες* PV 6 *σχηδαίων* R (*σχιδέων* E, *σχιδαίων* M), *σχηδεῶν* PV, *σχεδιῶν* AB, *δίων* F, om. D, *σχεδέων* Z Voss. Post *σχιδέων* inserit Vindob. 77 *ὡς οἶμαι τοῦτο λογιζόμενος ἵνα μὴ τῶν ἀλόγων ζώων στεναζόντων διὰ τοῦ βάρους γένηται τὸ ἔργον ἀπροσδόκητον τῷ θεῷ* (similia tradit Marc. app. VII 43) 7 *βορᾶς* R, *βορρᾶ* C *νησίων* DF 9 *ἀσικρίτης* RMA$_1$, om. PV, *ἀσύγκριτος* EF, sequor A$_2$BDZ 10 *σχιδέας* vel *σχηδαίας* PVRC (*σχεδιῶν* A$_2$B, om. MA$_1$, *σχεδέων* Z, *σχεδαίας* Voss.) 11 *Μαρκία*] cf. Codin. p. 76, 6 et 108, 8 B 12 *τοῦ κτισθέντος* codd. praeter MA$_1$ 13 *Ἡ δὲ* — 16 *μου* in PVRDF post *ἀμφοτέρους* (p. 77, 1) ponuntur. Correxi ex KE 15 *ἰσομηκοπλάτους* PV, *ἰσομήκεις* DF (*ἰσομήκους, ἰσοκύκλους, τολμῶ εἰπεῖν καὶ ἰσοστάθμους* K) 17 *Κωνστ. στρατ.*] *ὁ στρατηγὸς Ἰωάννης* MA$_1$Z

Ἐφέσου λελατομημένους ἀμφοτέρους. Τοὺς δὲ λοιποὺς κίονας τοὺς μὲν ἀπὸ Κυζίκου, τοὺς δὲ ἀπὸ Τρωάδος, ἄλλους ἐκ τῶν Κυκλάδων νήσων οἱ ἄρχοντες τῷ βασιλεῖ ἀπέστειλαν· καὶ λοιπὴν ἱκανὴν ὕλην ἀπετίθουν. Ἀπεσωρεύθη δὲ πᾶσα ἡ ὕλη διὰ χρόνων ἑπτὰ ἥμισυ. Τῷ δὲ δωδεκάτῳ ἔτει τῆς βασιλείας Ἰουστινιανὸς τὸν προειρημένον ναὸν τὸν παρὰ τοῦ μεγάλου βασιλέως κτισθέντα Κωνσταντίνου ἐκ θεμελίων κατέστρεψε. Τὴν δὲ ὕλην ἰδίως ἀπέθετο· οὐδὲ γὰρ χρείαν αὐτῆς εἶχε διὰ τὸ πολλὴν καὶ ἄπειρον ὕλην ἑτοιμάσαι.

3. *Ἤρξατο δὲ ὠνεῖσθαι οἰκήματα τῶν ἐκεῖσε οἰκούν-* Ba 67 *των· καὶ πρῶτον μὲν χήρας τινὸς γυναικός, ὀνόματι Ἄννης, οἰκήματα· καὶ ἀπετιμήθησαν νομίσματα πε΄. Ἐκείνης δὲ μὴ βουλομένης ταῦτα διαπωλῆσαι τῷ βασιλεῖ ἔλεγεν· ὅτι ʻμέχρι πεντήκοντα λιτρῶν ἐάν μοι παρέχεις, οὐ δίδω σοι αὐτά.ʼ Καὶ ὁ βασιλεὺς τῶν μεγιστάνων αὐτοῦ πολλοὺς ἀποστείλας εἰς ἱκεσίαν τῆς γυναικός, οὐδὲν ἤνυον. Παραγενόμενος τοίνυν ὁ βασιλεὺς εἰς ἱκεσίαν τῆς γυναικὸς ἐδέετο αὐτῆς περὶ τῶν οἰκημάτων. Ἡ δὲ θεασαμένη τὸν βασιλέα προσέπεσε τοῖς ποσὶν αὐτοῦ δεομένη τὸν βασιλέα καὶ λέγουσα· ὅτι ʻτιμὴν μὲν οὐκ ὀφείλω λαβεῖν εἰς τὰ οἰκήματα· τὸν δὲ ναὸν ὃν*

20 sqq. sed precor, domine, ut sepeliatur corpus meum in

2 *κυζίκων* PV *τροάδα* R 3 *νήσω* R. Plura etiam loca enumerantur in Vind. 77 et 94 *οἱ ἄρχ.* (*δὲ* add. C.) *τοῦ βασιλέως* RC *ἀπέστειλαν* om RC 4 *καὶ οἱ λοιποὶ ἱκανὴν ὕλην ἀπετίθεσαν* C, *καὶ λοιπὸν ἱκανὴ ὕλη ἀπετέθη* PV (*τὴν ἑτέραν λοιπὴν ἅπασαν ὕλην ἐπισυνάξαντες ἀπέστελλον κτλ.* A_2, *πᾶσαν δὲ ὕλην εὑρόντες καὶ ἀποστείλαντες κτλ.* MA_1, om. B 5 *διὰ χρόνους* R, *εἰς χρόνους* K *τῶ δὲ δεκάτω ἔτη* RC, correxi ex K Vind. 77 6 *ἰουστινιανοῦ* codd., correxi 12 *καὶ* om. RC *νομίσματα*] ιι PV, *νομίσματα λίτρας* C, om. A_2 B 13 *τῷ* om. R *μέχρι λιτρῶν ὀκτώ* MA_1, *μέχρι νομισμάτων λίτρας φ΄* A_2 B, *ἄχρι* (in D corrupte *χρυσίων*) *ν΄ κεντηναρίων* C 14 *παρέχεις* R, *παράσχεις* (*παράσχης*) PVK, *ἐπιδώσης* C *δώσω* PVC 16 *τῆς γυναικὸς* om. RFD *ἤνυε* CV (*ἡ δὲ οὐκ ἤνυεν* A_2 B, *ἡ δὲ οὐκ ἐπίθετο* MA_1)

βούλει κτίσαι, αἰτοῦμαί σοι, ἵνα ἔχω καὶ ἐγὼ ⟨κοινωνίαν εἰς αὐτὸν καὶ ἔχω⟩ ἐν ἡμέρᾳ κρίσεως μισθὸν καὶ ταφῶ εἰς τὰ οἰκήματα πλησίον.' Ὁ δὲ βασιλεὺς ὑπέσχετο αὐτῇ ταφῆναι ἐκεῖσε μετὰ τὸ τελειωθῆναι τὸν ναόν, ὡς ἴδιον κτῆμα δοῦσα, καὶ μνημονεύεσθαι διηνεκῶς. Ἔστιν δὲ ὁ τόπος τῶν οἰκημάτων αὐτῆς τὸ σκευοφυλακεῖον ὅλον.

4. Τὸ δὲ ὀνομαζόμενον ἅγιον φρέαρ καὶ τὸ θυσιαστήριον ὅλον καὶ ὁ τόπος τοῦ ἄμβωνος καὶ ἕως τὴν μέσην τοῦ ναοῦ ὑπῆρχεν οἶκος Ἀντιόχου εὐνούχου ὀστιαρίου καὶ ἀπετιμήθη λίτρας λη'. Τοῦ δὲ δυσχεραίνοντος μὴ πρᾶσαι τὸν ἴδιον οἶκον τῷ βασιλεῖ, φιλοδίκαιος ὢν ὁ βασιλεὺς καὶ μισοπόνηρος πρὸς τὸ μὴ θέλειν τινὰ ἀδικῆσαι ἠθύμει ἀδημονῶν, τὸ τί ἂν πράξοι. Στρατήγιος δὲ μάγιστρος, ὁ τῶν

habitationibus meis; unde contigit quod sola ipsa in templo sepulta est.

1 αἰτοῦμαι σε PVC   αἰτοῦμαι κτλ.] θέλω δὲ κοινωνὸν κἀμὲ γενέσθαι εἰς τὸν κτιζόμενον ναόν, ἵνα ἔχω κἀγὼ μισθὸν ἐν ἡμέρα κρίσεως καὶ μετὰ θάνατόν μου ταφῶ πλησίον τῶν οἰκημάτων μου καὶ διηνεκῶς μνημονεύεσθαι ὡς κτῆμα δοῦσαν αὐτά A_2B (similiter A_1M), καὶ θέλω νὰ ἔχω μνημόσυνον εἰς τὸν ναὸν καὶ μισθὸν ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως καὶ νὰ ταφῶ καὶ εἰς τὰ ὡσπίτιά μου πλησίον Vind. 129; κοινωνίαν — ἔχω inserui coll. K et Vind. 129   3 αὐτὴν τοῦ ταφῆναι P   4 τὸν ναὸν] hic addit E: καὶ τὴν γυναῖκα ἔτυχε τότε ἀποθανεῖν καὶ ἐτάφη ὑποκάτω τοῦ σκευοφυλακίου   5 δοῦσαν EA_2B   ὁ τόπος] ἀπὸ R   6 αὐτῆς et ὅλον om. R   σκευφυλάκιον PVCM; τὸ βῆμα ὅλον καὶ τὸ σκευοφ. E, τὸ σκευοφ. ὅλον σὺν τῷ ναῷ τοῦ ἁγίου πέτρου K   7 τὸ στάδιον τοῦ ἁ. φρέατος Vind. 77   θυσιαστήριον] βῆμα MA_1 8 ἕως τῆς μέσης DFA_2B, ἕως τὸ μέσον E Vind. 77, ἕως τοῦ μέσου Z, ἡ μέσις PV (καὶ ἕως — ναοῦ om. MA_1)   10 λιτρῶν PV (εἰς ὑπέρπυρα λίτρας ν' A_2B)   τοῦ μὴ πιπράσαι ἀξίως τὸν ἴδιον κτλ. A_2B, δυσχεραίν. καὶ μὴ θέλοντος αὐτὸν πωλῆσαι A_1M   12 θέλων VRDE, θέλ P, πρὸς τοῦ μὴ θέλειν F, καὶ μὴ θέλων λυπηθῆναί τινα A_1M; sequor A_2B   13 τί πράξοι CAB, τί πράξει PVM   μάγιστρος ὢν τοῦ βασιλέως καὶ τῶν κτλ. REF   ὁ τῶν βασιλ. κτλ.] προκαθή-

βασιλικῶν χρημάτων φύλαξ, ὁ τοῦ βασιλέως ἀδελφοποιητός, ὑπισχνεῖται τῷ βασιλεῖ διοικῆσαι τοῦτο διά τινος μηχανῆς. Ὁ δὲ ῥηθεὶς Ἀντίοχος ὀστιάριος φιλοϊππόδρομος ὤν, ἱππικοῦ ἀγομένου ὁ μάγιστρος Στρατήγιος καθεῖρξεν τὸν εὐνοῦχον ἐν τῇ φρουρᾷ. Τῇ δὲ ἡμέρᾳ τοῦ ἱππικοῦ ἤρξατο στριγγίζειν ἐκ τῆς εἱρκτῆς· ‘θεάσωμαι τὸ ἱπποδρόμιον καὶ τὸ θέλημα τοῦ βασιλέως ποιήσω.’ Ἤγαγον δὲ αὐτὸν ἐν τῷ στάματι τοῦ καθίσματος, ἐν ᾧ ἐκαθέζετο ὁ βασιλεὺς ἐν τῷ ἱπποδρομίῳ, καὶ ἐκεῖσε ἐποίησε τὴν διάπρασιν ὑπογράψαντος ἐκεῖσε τοῦ κυαίστορος καὶ τῆς συγκλήτου πάσης πρὸ τοῦ τοὺς ἵππους γυμνάσαι. Τύπος δὲ ἦν ἐκ παλαιοῦ, ἡνίκα ἀνήρχετο ὁ βασιλεὺς ἐν τῷ καθίσματι, παρευθὺς ἔτρεχον οἱ ἡνιοχευτικοὶ ἵπποι· διότι δὲ ἤργησαν εἰς τὴν πρᾶσιν τῶν οἰκημάτων τοῦ εὐνούχου, μέχρι τῆς σήμερον ἀργῶς ἐξέρχονται τὰ ἡνιοχευτικὰ ἅρματα τῶν ἵππων.

5. Τὸ δὲ δεξιὸν μέρος τοῦ γυναικίτου ὅλον καὶ ἕως Ba 68
τοῦ κίονος τοῦ ἁγίου Βασιλείου καὶ ἐκ τοῦ ναοῦ μέρος τι ὑπῆρχον οἰκήματα Χαρίτωνος εὐνούχου τὸ ἐπίκλην

μενος τοῦ βεστιαρίου Vind. 129 2 τοῦ διοικῆσαι PVCZ, τοῦ νικῆσαι A_2B (νὰ μηχανήσεται τὸν εὐν. Vind. 129) τοῦτο] αὐτὸν K, cf. Vind. 129 3 ἐφίλει τὸ κυάνεον χρῶμα φιλοϊππόδρ. ὢν καὶ ἀντεποιεῖτο αὐτοῦ λίαν καὶ ἔχαιρεν ἐπ᾽ αὐτῷ· ἱππικοῦ δὲ κτλ. K; ἠγάπα πολλὰ νὰ βλέπει εἰς τὸ ὑποδρόμην, ὅταν ἐκράζουν (sic) αἱ καρούχαι Vind. 129 4 καθείρξας αὐτὸν εἰς τὸ πραιτώριον K 5 ἄξατο R 6 εἰ θεάσομαι M, ἂς θεάσομαι A, ἴδω B 7 Ante ἤγαγον inserunt A_2B ὑπομνησθέντος δὲ τοῦ βασιλέως (ὑπομνησθεὶς δὲ ὁ β. A_1M) 7 sq. ἐν τῷ σένσζω Vind. 77 9 ἐπόισε τὴν ὠνὴν R 10 Post πάσης addunt A_2B ἐπράθησαν δὲ εἰς ὑπέρπυρα (pro hac voce χάριν (!) A_2) λίτρας πε᾽ πρὸ τοῦ — 15 ἵππων om. K πρὸ τοῦ τοὺς] πρὸ τοὺς V, πρὸς τὸ τοὺς R (πρὸ τοῦ ἐναναχράζουν αἱ καρούχαι καὶ τότε ἐγένετο ἡ συνέσις (σύνδεσις?) τῶν ἀλόγων Vind. 129) 11 γυμνάσαι] δραμεῖν Z ὡς ἡνίκα Z 12 ἀπήρχετο RV 16 Τὸ δὲ δεξιὸν μέρος — μέρος τι] τὸ δὲ δεξιὸν μέρος τοῦ ναοῦ K (nil ultra) τοῦ γυναικίτου om. C

Χηνοπούλου, ἃ καὶ ἐξωνίσθησαν μετ' εὐχαριστίας. Τὸ δὲ ἀριστερὸν μέρος τοῦ γυναικίτου καὶ ἕως τοῦ κίονος τοῦ ἁγίου Γρηγορίου τοῦ θαυματουργοῦ ὑπῆρχον οἰκήματα Ξενοφῶντός τινος τῇ τέχνῃ βασιλισκαρίου· ὃς θέλων ἐξωνισθῆναι τὰ οἰκήματα αὐτοῦ ᾐτήσατο τῷ βασιλεῖ μὴ μόνον τίμημα διπλοῦν λαβεῖν εἰς τὰς σκηνὰς αὐτοῦ, ἀλλ' ἵνα ποιήσῃ τοῦτον ἐν τῷ ἀγομένῳ ἱππικῷ, ἐν ᾧ ἐπιτελεῖται, τιμᾶσθαι καὶ προσκυνεῖσθαι παρὰ τῶν τεσσάρων ἡνιόχων. Τοῦ δὲ βασιλέως προστάξαντος τοῦτο, πρὸς γέλωτα πεποίηκεν εἰς τὸ διηνεκές, ἵνα τυπωθῇ εἰς τοὺς ἀεὶ χρόνους, ἐν τῇ ἡμέρᾳ τοῦ ἀγομένου ἱππικοῦ καθέζεσθαι τοῦτον ἐν τοῖς καγκέλλοις μέσον καὶ τὰ ὀπίσθια αὐτοῦ προσκυνεῖσθαι παρὰ τῶν ἡνιόχων πρὸς γέλωτα πρὸ τοῦ ἀναβῆναι αὐτοὺς ἐπὶ τῶν ἁρμάτων· καὶ τοῦτο διήρκεσε μέχρι τῆς σήμερον· ὃς καλεῖται ἄρχων τῶν καταχθονίων· ἀμφιέννυται δὲ χλαμύδα λευκὴν

---

1 *χηνοπώλου* PF, *χηνοπώλω* V, *χηνόπουλος* DE, *χηνοπόδη* A_2B, *χηνόποδ*[o] MA_1, *χιονοπούλου* Z *ἐξωνήθησαν* EF *καὶ μετὰ εὐχαριστίας πολλῆς δέδωκεν αὐτὰ* (om. A_2B) *τῷ βασιλεῖ ἐπὶ* (om. A_2B) *διπλῷ τιμήματι ἀποτιμηθέντα* (om. M) *λίτρας* (*νομίσματα* AB) *δώδεκα* K 4 *βασιλισκαρίου*| *ῥάπτου* K *ἐξονηθῆναι* PV, *ἐξωνήσασθαι* C 5 *ᾐτήσατο τὸν βασιλέα ἵνα λάβῃ διπλοῦν τὸ τίμημα λίτρας* (*νομίσματα* A_2B) *ιδ'* K *τὸν βασιλέα* PVC 6 *λάβῃ* R *τοῦτον*| *αὐτὸν* K
7 *ἐν τῷ κτλ.*] *τῇ ἡμέρα τοῦ ἱππικοῦ* K *ἐν ᾗ* PV *ἐπιτελ.*—*παρὰ τῶν* exciderunt in R *ἐν ᾧ ἐπιτελ. μέχρι τὴν σήμερον* E 8 *ἐτεσσάρων* R *ἡνιόχων τῶν ἐγκραζόντων καρούχαι* Vind. 129 8—p. 81, 1 *Τῶν δὲ δήμων* (*δημοτῶν* A_1 M) *καὶ πάσης τῆς συγκλήτου εἰπόντων τῷ βασιλεῖ· οὐκ ἔξεστι προσκυνεῖσθαι αὐτὸν οὕτως εἰ μὴ μόνον τὸν βασιλέα, προσέταξεν ὁ βασιλεὺς πρὸς γέλωτα καθεζόμενον ἐξόπισθεν προσκυνεῖσθαι αὐτὸν καὶ ὀνομάζεσθαι ἄρχοντα τῶν καταχθ.· καὶ φυλάσσεται μέχρι τοῦ νῦν* K 9 *κεν εἰς τὸ διη* exciderunt in R 10 *ἀεὶ*| *διηνεκεῖς* R 11 *τοῦτον*| absurde dicit scriptor Xenophontem usque ipsius aetatem adorari (l. 14); immo mos fuisse videtur, ut homo quis, quem forse *βασιλισκάριον* dicebant, hoc modo in circo illuderetur *καγγέλλοις* RD 12 *προσκυνοῦσιν οἱ ἡνίοχοι οἱ ἐγκράται* Vind. 129 15 *ἀμφιένοιτο* (i. e. *ἀμφιέννυτο*) R

μετὰ βύσσου ἠμφιεσμένην. Τὸ δὲ ἐπίπεδον τοῦ ναοῦ καὶ οἱ τέσσαρες νάρθηκες καὶ ὁ λουτὴρ καὶ τὰ πέριξ αὐτοῦ ὑπῆρχον οἰκήματα Μαμιανοῦ πατρικίου Σελευκίας· ἅπερ ἀπετιμήθησαν λίτρας Ϛʹ· καὶ μετὰ πολλῆς περιχαρίας δέδωκεν αὐτὰ τῷ βασιλεῖ.

6. *Ὁ δὲ βασιλεὺς Ἰουστινιανὸς τὸν τόπον καταμετρήσας καὶ εὑρὼν στεφαναίαν πέτραν ἀπό τε τοῦ θυσιαστηρίου καὶ μέχρι τῆς κάτω ἀψῖδος ἐθεμελίωσεν αὐτὴν γύροθεν τὰ βάθρα τοῦ μεγάλου τρούλου· ἀπὸ δὲ τῆς ἀψῖδος μέχρι τοῦ ἐξωτάτου νάρθηκος εἰς τὸν χαῦνον καὶ ἀλσώδη τόπον ἐθεμελίωσεν. Ἀρξάμενος δὲ τὸ θεμέλιον κτίζειν προσεκαλέσατο Εὐτύχιον πατριάρχην καὶ ἐποίησεν εὐχὴν περὶ συστάσεως*

---

11 *Chron. anni 1570 (Doroth. Monemb. p. 249 ed. 1818): καὶ τῷ δωδεκάτῳ τῆς αὐτοῦ βασιλείας ἔγιναν τὰ ἐγκαίνια τῆς μεγάλης ἐκκλησίας, δηλονότι τοῦ αὐτοῦ ναοῦ, καὶ ἐξῆλθεν ἡ λιτὴ ἀπὸ τῆς ἁ. Ἀναστάσεως μετὰ τοῦ πατριάρχου καὶ τοῦ βασιλέως καὶ παντὸς τοῦ λαοῦ. ἐν γὰρ τῷ ,ϛη΄* (scribe *,ϛμ΄) χρόνῳ ἀπὸ κτίσεως κόσμου, ἰνδικτιῶνος ιε΄, τῇ κγ΄ Φευρουαρίου μηνός, ὥρα πρώτῃ τῆς ἡμέρας τὴν τῆς μεγάλης ἐκκλησίας ἀνοικοδομὴν ἀρ-*

---

1 *ἠμφιεσμένην* vix genuinum 2 *νάρθηκαι* PV *αὐτῶν* PVKZ 3 *δαμιανοῦ* CK *πατρικίου*] *πριμικυρίου* Z *σελευκίου* DM, *σελεύκου* AB 4 *Ϛʹ*] *ξξ* K, *ηʹ* D 7 *στεφαναίαν*] *στερεὰν* Vind. 77; idem coniecit Comb.; Du Cange in Glossario affert Eustath. in Iliad. 13, 138: *Στεφάνην ἢ τὴν τοῦ ὄρους ἐξοχήν φησιν ἢ κατά τινας τὴν πλατύτητα· ὅθεν καὶ ἡ κοινὴ φράσις στεφαναίαν τινὰ πέτραν λέγει* *θυσιαστηρίου*] *βήματος* K 8 *τῆς κάτω ἀψ.*] i. e. occidentalis, cui opponitur *ἡ ἄνω ἀψίς* i. e. *θυσιαστήριον* p. 88, 9 *αὐτὴν* om. PAM (deest locus in B): an *αὐτῆς γύροθεν*? *βάθρα*] om. R, *βάρα* PV, *βάραθρα* DF 9 *ἀπὸ δὲ τῶν ἀψίδων* RCPV, *ἀπὸ δὲ τὴν ἀψίδα* Vind. 129; corr. coll. K: *ἀπὸ δὲ τῆς μεγάλης* (om. A) *ἀψίδος μέχρι τῶν δ΄ ναρθήκων εὗρε τόπον ἀλσώδη καὶ χαῦνον καὶ ἐθεμελίωσεν.* (*ἀπὸ δὲ τῶν ναρθήκων τῶν ἔξω καὶ μέχρι τῶν ἀψίδων* Z) 10 *εἰς τὴν χαύνωσιν καὶ ἀλσώδη* PV *χαυνὸν* R *ἀλσῶδες* Z, *ἰλυώδη* Lamb. *τόπον* om. PVR, inserui ex KC, cf. Codin. p. 101, 15 B

ἐκκλησίας· τότε ὁ βασιλεὺς Ἰουστινιανὸς λαβὼν ἰδίαις χερσὶ τὸ ἄσβεστον μετὰ τοῦ ὀστράκου καὶ εὐχαριστῶν τῷ θεῷ ἔβαλεν ἐπὶ τῶν θεμελίων πρὸ πάντων. Πρὸ δὲ τοῦ ἄρξασθαι κτίζειν τὸν ναὸν προέκτισεν εὐκτήριον χρυσόροφον καὶ περικαλλὲς κυκλικὸν μετὰ λίθων πολυτίμων· ὅπερ ὠνόμασε

Ba 69 τοῦ ἁγίου Ἰωάννου τοῦ Προδρόμου (ὅπερ ἐστὶ | πλησίον τοῦ ὡρολογείου τὸ καλούμενον βαπτιστήριον), ἵνα ἐκεῖσε παραμένῃ μετὰ τῶν ἀρχόντων αὐτοῦ, πολλάκις δὲ καὶ ἐσθίῃ. Τότε γὰρ καὶ τὰ διαβατικὰ ἀπὸ τοῦ παλατίου μέχρι τῆς μεγάλης ἐκκλησίας ἔκτισεν, ἵνα διέρχεται καθ' ἑκάστην συνεχῶς καὶ μὴ ὁρᾶσθαι παρά τινος πρὸς τὸ παρίστασθαι ἐν τῇ οἰκοδομῇ τοῦ ναοῦ.

7. Ὑπῆρχον δὲ τεχνῖται μαΐστορες ἑκατόν, ἔχοντες ἕκαστος αὐτῶν ἀνὰ ἑκατὸν ἀνδρῶν, ὁμοῦ γινόμενοι χιλιάδες δέκα. Καὶ οἱ μὲν πεντήκοντα μαΐστορες μετὰ τοῦ λαοῦ αὐτῶν τὸ δεξιὸν μέρος ᾠκοδόμουν, οἱ δὲ ἕτεροι πεντήκοντα ὁμοίως τὸ εὐώνυμον μέρος ᾠκοδόμουν διὰ τὸ εἰς ἔριν καὶ σπουδὴν ταχέως κτίζεσθαι τὸ ἔργον.

χησε. (*Similia inserit* A_1: τῆς οἰκοδομῆς τοῦ ναοῦ ἀχθείσης (i. e. ἀρχθείσης) κατὰ τὸ ͵ςμ´ ἔτος ἰνδ. ιε´ ἐν φευρουαρίῳ μηνί)
13 Erant autem magistri operis de omni arte centum etc. (*Rad. Niger*)

---

1 λαβὼν] κύψας καὶ D, om. EF   2 καὶ om. RC   3 πρὸ ante πάντων om. R   4 χρυσοφόρον R   5 κυκλῇ ... μετὰ V, κυκλὴ μετὰ P   6 εἰς τὸ ὡρολόγιον K (ὡρολογεῖον B)   7 τὸν λεγόμενον βαπτιστῆρα καὶ τὰ πλησιάζοντα τοῦ Μητατωρίου K (μιταταρίου M, μιταρίου BA_1); πλησίον τοῦ ὡρολογίου, ὁμοίως καὶ τὸ μετακώριον nescio qui codex Lambecii   8 πολλάκις καὶ ἐσθίειν RPV, restitui ex EF (ἔσθιεν D)   9 διαβατικὰ σκεπαστά Vind. 129   10 διέρχηται AM; διερχόμενος .. μὴ ὁρᾶται C, ὁρᾶται etiam Z   καθ' ἑκ. συν.] ὁσάκις ἂν θέλῃ PVK   13 ἔχοντες ἑκ. αὐτῶν om. R   14 γενάμεναι PV, γινομένων RD, corr. ex FZVoss.   15 τῶν λαῶν RZ   17 εἶχε δὲ αὐτοὺς ἔρις καὶ πολλὴ σπουδὴ εἰς (διὰ A_1M) τὸ ταχέως κτίζεσθαι K

8. *Τὸ δὲ σχῆμα τοῦ ναοῦ ἄγγελος κυρίου ἔδειξε κατ' ὄναρ τῷ βασιλεῖ. Ὑπῆρχε δὲ ὁ πρωτοοικοδόμος ⟨Ἰγνάτιος⟩ μηχανικὸς καὶ λίαν φρονήσεως ἀντεχόμενος καὶ εἰς τὸ ἐγεῖραι ναοὺς ἐπιτήδειος. Εἰς τοὺς κακάβους δὲ ὀπτεῖτο ἡ κριθή· καὶ τὸν χυλὸν αὐτῆς ἐμίγνυον τῷ ἀσβέστῳ σὺν τῷ ὀστράκῳ ἀντὶ ὕδατος· ὁ δὲ αὐτῆς χυλὸς ὑπάρχει γλίσχρος καὶ μιξώδης καὶ κολλητικός. Ὁμοίως καὶ τὸν φλοῦν τῶν δένδρων τῶν πτελεῶν κατατέμνοντες ἐνέβαλον τοῖς κακάβοις μετὰ τῆς κριθῆς· καὶ ἐποίησαν μάζας τετραγώνους ἐχούσας ἀνὰ πηχῶν πεντήκοντα τὸ μῆκος καὶ πεντήκοντα τὸ πλάτος καὶ εἴκοσι τὸ πάχος· καὶ ἐτίθουν εἰς τοὺς θεμελίους καὶ οὔτε θερμὸν τοῦτο ἐτίθουν οὔτε πάλιν ψυχρόν, ἀλλὰ χλιαρὸν διὰ τὸ εἶναι κολλητικόν· καὶ ἐπάνω τῆς μάζης ἐτίθουν λίθους εὐμεγέθεις ἰσομήκους καὶ ἰσοπλάτους· καὶ ἦν ἰδεῖν τότε αὐτοὺς κρατεῖν οἷάπερ σίδηρον.*

2 Erat autem operis magister Ignatius, cui die etc.

2 ἦν δὲ εἷς 'μαΐστωρ μηχανικὸς κτλ. K πρῶτος οἰκοδόμος RC Ἰγνάτιος supplevi ex Rad. Dic., cf. p. 86, 4 sq.

4 ὀπτεῖτο] στήτω P, ὀπτηῶ (τ supra) V, ὀπτήτω R, ἔπτη C, ἐψεῖτο Z, de K v. infra ἡ κριθῆς R, τὴν κριθήν C 4—12 ἡ δὲ κριθὴ (κριθῆς A_2) ἵστατο βράζουσα εἰς (τοὺς add. A_1 M) κακάβους λίαν εὐμεγέθεις· καὶ τὸν ζωμὸν αὐτῶν ἐμίγνυον μετὰ τοῦ ἀσβέστου καὶ τοῦ ὀστράκου ἀντὶ ὕδατος· ὑπάρχει οὖν (ὑπάρχων A_2 B) ὁ ζωμὸς τῆς κριθῆς γλίσχρος (χλιαρός A_2 B) ἔκοπτον δὲ καὶ τοὺς φλοιοὺς τῆς πτελέας καὶ ἐμίγνυον μετὰ τοῦ ἀσβέστου καὶ ἐποίουν μάζας καὶ οὔτε ἄγαν θερμὸν κτλ. K 5 σὺν τοῦ ὀστράκου P, σὺν τῆς ὀστράκου V 6 ὑπῆρχε PVC γλισχρὸς PVRC, γλίσχρος A_1 MZ, χλιαρὸς A_2 B μυξώδης RP

7 φλοῦν] φλυῶν (i. e. φλοιὸν) D, φλῶμον E, φλόμον F τῶν δένδρων καὶ τοὺς ἀκραίμονας (sic) τῶν πτελεῶν E 8 πτελέων RD, ἰτεῶν PV (ἰτέων Vind. 77 et 129, ἐτέων Z)

9 ἐπόισαν R πήχεις C, ποδῶν PV 12 ἀλλ' ὅλον χλιαρὸν PV 14 εὐμεγέθους PV ἰσομηκοπλάτους PVZ. ἰσομήκεις ἰσοπλάτους C 15 κρατοῦντας Z σίδηρος PV (καὶ τοὺς λίθους διακρατεῖν (κολλᾶν B_1) δίκην σιδήρου K

9. *Δύο δὲ πηχῶν τοῦ θεμελίου ὑψωθέντος ἐκ τῆς γῆς, ὥς φησιν ὁ προειρημένος* <*Στρατήγιος ὁ τοῦ βασιλέως ἀδελφο-*> *ποιητὸς ὁ καὶ ἀπογράφων τὴν ἔξοδον, ἐξωδιάσθησαν χρυσοῦ κεντηνάρια υνβ΄. Μιλιαρίσια γὰρ ἀργυρᾶ καθ᾽ ἑκάστην ἐκομίζοντο ἐκ τοῦ παλατίου καὶ ἐτίθοντο εἰς τὸ ὡρολογεῖον καὶ ὅσοι ἀνεβίβαζον λίθους, ἐλάμβανον καθ᾽ ἑκάστην ἡμέραν ἀνὰ ἀργυροῦ ἑνός, διὰ τὸ μὴ ἀκηδιάσαι τινὰ ἐξ αὐτῶν ἢ βλασφημῆσαι. Εἷς δὲ τῶν βασταζόντων λίθους ἀγανακτήσας καὶ στενάξας εἰς γῆν κατηνέχθη καὶ συνετρίβη. Τὴν δὲ ἔξοδον ἐποίει ὁ προρρηθεὶς Στρατήγιος, ὁ φύλαξ τῶν βασι-*

4—p. 86, 5 K *in his ita a* PVRC *discrepant, ut integra verba codicis M, ad quem A B proxime accedunt, hic apponam: μιλιαρίσια δὲ ἔφερον καθ᾽ ἑκάστην καὶ ἐμίγνυον εἰς τὸν χοῦν· καὶ ἔχυνον εἰς τὸ ὡρολόγιον καὶ πέριξ τῶν κτισμάτων· καὶ ἡνίκα ἡσύχαζον ὀψίας καὶ ἔμελλον οὗτοι ὑποχωρεῖν, γυρεύοντες τὸν χοῦν ἕκαστος αὐτῶν διαφόρως εὕρισκεν καὶ ἀπήει μετὰ χαρᾶς (cf. infra p. 97, 11 sqq)· καὶ ἕτερα μιλιαρίσια ἀπέκειντο εἰς τὸ ὡρολόγιον· καὶ ὅσοι ἀνεβίβαζον ἐκ τούτων καὶ ἐκόμιζον ἢ λίθον ἢ ὄστρακον μετὰ ἀσβέστου ἢ βήσαλον, καθ᾽ ἕνα ἕκαστον καὶ μίαν φορὰν ἐκτὸς τοῦ μισθοῦ ἐδίδου αὐτῷ ἀργύριον, διὰ τὸ μὴ βλασφημῆσαι καὶ στενάξαι τινά. Ἐξ αὐτῶν δὲ εἷς στενάξας καὶ εἰπὼν τὸ οὐαὶ ἔπεσεν ἀθρόως καὶ συνετρίβη καὶ ἀπέψυξε. Τῶν δὲ πινσῶν . . . σταθέντων ἔμελλον καὶ τοὺς Ῥωμαίους κίονας μετ᾽ αὐτῶν τιθέναι· ἀλλ᾽ οὐκ ἐποίουν καὶ ἔστησαν εἰς τὰς (δ΄ add. A, B) κόγχας. ὁ δὲ βασιλεὺς σπεύδων τὸ δειλινὸν οὐκ ἐκάθευδεν, ἀλλὰ πολλὴν σπουδὴν ἐποιεῖτο τοῦ ἔργου· καὶ ἐπορεύετο βλέπων τοὺς λιθοξόους καὶ τοὺς οἰκοδόμους· ἤρχετο δὲ μετὰ Τρωΐλου τοῦ κουβικουλαρίου αὐτοῦ· τὴν δὲ ἔξοδον κατεῖχε Στρατήγιος ὁ ἀδελφὸς αὐτοῦ καὶ φύλαξ τῶν βασιλικῶν χρημάτων· σπουδῇ δὲ αὐτοῦ ἐπηγγείλατο ὁ βασιλεὺς ὡς ἂν ἔξωθεν τῶν μισθῶν αὐτῶν καὶ τῶν καθημερινῶν ἀργυρίων δὶς τῆς ἑβδο-*

2 *ὁ προειρημένος ποιητής* omnes codd.; supplebam coll. p. 78, 13 et 89, 11   3 *ὁ* om. RC   4 *υλβ΄* PV, *φμη΄* Z   5 *ὡρολογίον* RD, *ὡρολόγιον* rell.   6 . . . *λίθους εἰς τὴν οἰκοδομὴν τῶν πηνσῶν εἷς ἕκαστος καθ᾽ ἕκαστον λίθον ἐλάμβανεν ἀργυροῦν ἓν διὰ κτλ.* Z   10 *Στρατήγιος ὁ*] *βασιλικὸς καὶ* C

λικῶν χρημάτων, ὁ καὶ ὑπάρχων πνευματικὸς ἀδελφὸς τοῦ βασιλέως Ἰουστινιανοῦ. Τῶν δὲ πινσῶν ὑψωθέντων καὶ τῶν κιόνων τῶν μεγάλων τῶν τε Ῥωμαίων καὶ τῶν πρασίνων σταθέντων ὁ βασιλεὺς τὸ δειλινὸν οὐκ ἐκάθευδεν, ἀλλ' εἶχε πολλὴν τὴν ἐπιμέλειάν τε καὶ σπουδὴν εἰς τὸ ὁρᾶν τούς τε λιθοξόους καὶ λατόμους καὶ τεκτονικοὺς καὶ πάντας τοὺς οἰκοδόμους· μετὰ καὶ Τρωΐλου κουβικουλαρίου τούτους ὁρῶν σπουδὴν αὐτοῖς ἐπηγγείλατο· καὶ διὰ τοῦτο ἔξωθεν τοῦ μισθοῦ αὐτῶν τῶν ἐργατῶν τῇ ἑβδομάδι ἅπαξ ἢ δὶς εὐεργέτει τούτους, ποτὲ μὲν ἀπὸ νομίσματος ἑνός, ἄλλοτε δὲ καὶ πλεῖον. Πορευόμενος δὲ ὁ βασιλεὺς ἠμφιέννυτο ὀθόνην λευκὴν καὶ ψιλὴν | καὶ σουδάριον ἀμυδρὸν ἐν τῇ κεφαλῇ αὐτοῦ, Ba 70 ἐν δὲ τῇ χειρὶ ῥάβδον πτενὴν κατεῖχεν.

10. Ἀνεγείραντες δὲ τὰς ἀψίδας τῶν τε ὑπερῴων εὐωνύμων τε καὶ δεξιῶν καὶ ταύτας στεγάσαντες κεφαλικὰς

μάδος εὐεργετεῖν αὐτούς (αὐτόν M). μετὰ δὲ ταῦτα ὁσάκις ἀνήρχετο (ἂν ἤρχετο M) εἰς θεωρίαν, ἐφόρει λευκὸν κολόβιν καὶ (om. M) τῇ χειρὶ κατεῖχε ῥάβδον λεπτήν. Σκεπάσαντες (-ος M) δὲ ἐπάνω τὰς ἀψίδας ἀμφοτέρων τῶν μερῶν τῶν ἐμβόλων τῶν γυναικιτῶν καὶ ἀναλαβόντες εἰς τοὺς πινσοὺς μέχρι τῶν κατηχουμένων προσέταξε Στρατήγιος ἡμέρᾳ σαββάτου (ἑβδόμῃ AB) ὥρᾳ τρίτῃ μιλιαρίσια προσαγαγεῖν εἰς πλῆθος καὶ τοὺς μαΐστωρας κατελθεῖν εἰς τὸ ἄριστον· ὁ δὲ τούτων μαΐστωρ Ἰγνάτιος κατέλιπε κτλ.

1 ὃς καὶ ὑπάρχων R, ὃς καὶ ὑπῆρχε C 4 ἀγωνιῶν οὐκ ἐκάθευδεν Z 5 σπουδὴν πολλὴν καὶ ἐπιμέλειαν PVC 6 ἐλατόμους R 7 Τρώϊλον πρωτοβεστιάριον temporibus Iustini minoris florentem noscimus ex Codino p. 86, 11 B 8 αὐτοῖς ἐπηγγ.] αὐτοὺς ἐπεγγ. PV, αὐτοὺς ἐποιήσατο R 10 νομισμάτων RP, ιι V, om. C 11 πλέον R 14 ἀνεγειράντων et 15 στεγασάντων C; ἀνεγείραντες δὲ τὰς ἄνω ἀψίδας τὰς ἐν τῷ ὑπερῴω τῷ μεγάλῳ Vind. 77, ἀνεγερθέντων δὲ τῶν ὑπερῴων ἀψίδων καὶ στεγασθέντων εἰς κεφαλικὰς ἀψίδας Voss. 15 ταῦτα R, ταύταις D σκεπάσαντες PV, σκευάσαντες Z σκαφικὰς PVZ (σκυφικὰς legit Comb.), κεφαλικαῖς R

ἀψίδας, ὡρίσθη ἀγαγεῖν μιλιαρίσια ἐκ τοῦ παλατίου τῷ κρατοῦντι ἡμέρᾳ σαββάτου· ἦν γὰρ ὥρα τρίτη τῆς ἡμέρας καὶ προςέταξεν ὁ Στρατήγιος τοῦ ἐξελθεῖν τοὺς ἐργάτας καὶ τεχνίτας εἰς τὸ ἄριστον· κατερχόμενος δὲ καὶ ὁ προρρηθεὶς Ἰγνάτιος, ὁ πρῶτος τῶν οἰκοδόμων, ὁ μηχανικός, κατέλιπεν τὸν υἱὸν αὐτοῦ ἄνωθεν, ἐν ᾧ ἔκτιζον δεξιὸν μέρος ἄνωθεν τῶν ὑπερῴων, εἰς τὸ ὁρᾶν τὰ πρὸς οἰκοδομὴν ἐργαλεῖα ἅπαντα. Ὁ δὲ παῖς ἦν ὡσεὶ χρόνων δεκατεσσάρων. Καθεζομένου οὖν τοῦ παιδὸς ἐφάνη αὐτῷ εὐνοῦχος λαμπρὰν ἐσθῆτα ἠμφιεσμένος, ὡραῖος τῷ εἴδει ὡς δῆθεν ἐκ τοῦ παλατίου πεμφθεὶς καὶ λέγει τῷ παιδαρίῳ· 'τίνος] χάριν τὸ ἔργον οὐκ ἐκπληροῦσι τοῦ θεοῦ οἱ κάμνοντες ταχέως, ἀλλὰ καταλιπόντες αὐτὸ ἀπῆλθον ἐσθίειν;' Ὁ δὲ παῖς λέγει ὅτι 'κύριέ μου, ταχέως παραγένωνται.' Ἐκείνου δὲ πάλιν εἰπόντος· 'πορευθεὶς λάλησον αὐτοῖς· σπεύδω γὰρ τοῦ ταχέως τελειωθῆναι τὸ ἔργον·' τοῦ δὲ παιδὸς φήσαντος αὐτῷ μὴ ἀπελθεῖν διὰ τὸ μή πως ἀπολεσθῶσι τὰ ἐργαλεῖα ἅπαντα, ἔφη ὁ εὐνοῦχος· '"Ἄπελθε ἐν σπουδῇ καὶ φώνησον αὐτοῖς] τοῦ ταχέως ἐλθεῖν καὶ ἐγὼ ὀμνύω σοι, τέκνον, οὕτως· μὰ τὴν ἁγίαν σοφίαν, ἥτις ἐστὶ λόγος θεοῦ, τὴν νῦν κτιζομένην, οὐχ ὑποχωρῶ τῶν ὧδε — ἐνταῦθα γὰρ ἐτάχθην καὶ δουλεύειν καὶ φυλάττειν παρὰ τοῦ λόγου τοῦ θεοῦ —, ἕως ὅτου καὶ ὑποστρέψεις.' Ταῦτα ἀκούσας ὁ παῖς δρομαῖος ἐπορεύθη

---

1 ἀψίδες R ὡρίσθη δὲ R τοῦ μὴ ἀγαγεῖν PVRZ ὁ κρατῶν C 2 σαββάτω RD ὥρα ἕκτη C 6 ἐν ᾧ ἔκτιζον] ἐν ω ἔκτιζε PV, om. C, qui praebet ἄνωθεν εἰς τὸ ὑπερῶον (ἄνωθεν τῶν ὑπερώων D) δεξιῶ μέρει Z, εἰς τὸ δεξιὸν μέρος C 8 δεκαπέντε Vind. 129 9 λαμπρὴν ἐσθ. R, λαμπρὰ ἐσθῆτι PVF 11 τὸ παιδίον RD (τῶ παιδίω E) 12 ἐκπληροῦν PV 14 παραγίνονται CK 15 λάλησον αὐτούς VC 17 μὴ ὅπως R, μή πως om. P, πως om. V (sequor CZ) ἀπολεσθῆναι C, ἀπόλωνται C (διότι ἀπολισθῶσι alioqui delaberentur Comb.) 18 φώνησον αὐτοὺς C τοῦ om. C, τὸ R 19 ὄμνυμί PVEZ 20 ἥτις — θεοῦ] om. PV, τὸν λόγον τοῦ θεοῦ C 22 ὅτου] ὅτε P, ὅτι V, οὗ Z, om. K

καταλιπὼν ἐν τῷ ὑπερῴῳ κτίσματι τὸν ἄγγελον Κυρίου φυλάττειν. Ὡς δὲ κατῆλθεν ὁ παῖς, εὑρὼν τὸν πατέρα αὐτοῦ τὸν πρωτοκτίστην μετὰ καὶ τῶν λοιπῶν ἐξηγήσατο πάντα· καὶ ὁ πατὴρ λαβὼν τὸν παῖδα ἤγαγεν ἐπὶ τὸ ἄριστον τοῦ βασιλέως· ἐκεῖσε γὰρ ἦν ὁ βασιλεὺς ἐσθίων ἐπὶ τὸ εὐκτήριον τοῦ ἁγίου Ἰωάννου τοῦ Προδρόμου ἐν τῷ ὡρολογείῳ. Ὁ δὲ βασιλεὺς ἀκούσας τὰ ῥήματα τοῦ παιδὸς προσεκαλέσατο πάντας τοὺς εὐνούχους καὶ ὑπεδείκνυεν ἕνα ἕκαστον αὐτῶν τῷ παιδαρίῳ λέγων· 'μήτι οὗτός ἐστιν;' Ὁ δὲ παῖς βοήσας μήτινα εἶναι ἐξ αὐτῶν τῆς θεωρίας ἐκείνου τοῦ εὐνούχου ὃν ἐν τῷ ναῷ ἐθεάσατο — ἔγνω τότε ὁ βασιλεύς, ὅτι ἄγγελος κυρίου ἐστὶν καὶ τὸ ῥῆμα γνώριμόν ἐστιν καὶ ὁ ὅρκος αὐτοῦ· εἰπόντος δὲ τοῦ παιδός, ὅτι λευκοφόρος ἐτύγχανε καὶ αἱ παρειαὶ αὐτοῦ πῦρ ἀπέπεμπον καὶ ἐνηλλαγμένη ἦν ἡ πρόσοψις αὐτοῦ, μεγάλως ἐδόξασε τὸν θεὸν ὁ βασιλεὺς λέγων ὅτι 'εὐδοκεῖ ὁ θεὸς εἰς τὸ ἔργον τοῦτο καὶ ὅτι ἔφεσις πολλή μοι ὑπῆρχε, πῶς δὴ καλέσω τὸν ναόν·' καὶ ἔκτοτε ἔλαβε τὴν προσηγορίαν ὁ ναὸς 'ἁγία Σοφία', ὁ λόγος τοῦ θεοῦ ἑρμηνευόμενος. Καὶ σκοπήσας ὁ | βασιλεὺς εἶπεν οὕτως· 'μὴ ἐάσαι Ba 71
τὸν παῖδα ὑποστρέψαι εἰς τὴν οἰκοδομήν, ἵνα εἰς τὸ διηνεκὲς φυλάττῃ ὁ ἄγγελος, καθὼς εἶπεν ἐν ὅρκῳ. Ἐὰν γὰρ ὁ παῖς ὑποστρέψῃ καὶ εὑρεθῇ ἐν τῷ κτίσματι, καὶ ὁ ἄγγελος

1 φυλάττοντα PVZ 2 καὶ εὑρὼν PV, εὗρε R (εὑρὼν C) 4 ἐπὶ τὸν ἄριστον PVRE 5 ἐπὶ τὸ — ὡρολογείῳ] ἐν τῷ βαπτιστῆρι K 6 ὡρολουγίῳ R 8 ἐπεδείκνυεν PV, ὑπέδειξε C τὸ παιδάριον R 10 ὅμοιον τῆς θεωρίας EF ὃν] οὗ R (ὅντινα ἐθεασάμην PV) 12 ἐστὶν ὁ λαλήσας σε P, ἐστὶν ὁ λαλήσας V γνώριμόν μοι ἐστὶν R ἐστιν] ἦν PV 14 ἦν om. RCPV, supplevi ex K πρόσοψις] ὅρασις PVCZ, ὄψις K 15 ἐδόξαζε R 16 εὐδόκησεν PV, εὐδοκιεῖ R καὶ ὅτι κτλ.] καίπερ (sic) διασκεπτομένου τοῦ βασιλέως τί καλέσει μετὰ ταῦτα τὸν ναόν K ἔφεσις πολλὴ καὶ κόπος PV (καὶ σκοπὸς Z) 17 ὑπάρχει R 18 ἡ ἁγία Σ. PVZ 19 ἐάσω PV 20 τὴν οἰκοδομήν, ἵνα εἰς om. RC (homoiotel.) 21 φυλάττει codd.

κυρίου ὑποχωρήσει.' Βουλευσαμένου δὲ τοῦ βασιλέως τοὺς κρείττονας τῆς συγκλήτου καὶ ἱερατικοὺς ποιμένας, εἶπον αὐτῷ μὴ ἀποστεῖλαι τὸν παῖδα εἰς τὴν οἰκοδομὴν κατὰ τὸν ὅρκον τοῦ ἀγγέλου, ὅπως ἐκ θεοῦ φυλάξει τὸν ναὸν ἕως τέλους κόσμου. Ὁ δὲ βασιλεὺς πλουτίσας τὸν παῖδα καὶ ἀξιώμασι δοξάσας, ἀπέστειλε μετὰ βουλῆς τοῦ πατρὸς αὐτοῦ ἐν ἐξορίᾳ εἰς τὰς Κυκλάδας νήσους. Ἐγένετο δὲ τὸ ῥῆμα πρὸς τὸν παῖδα τοῦ ἀγγέλου ὅπως ἐκ θεοῦ φυλάξει τὸν ναὸν φήσαντος εἰς τὸ δεξιὸν μέρος τοῦ πινσοῦ τῆς ἄνω ἀψίδος τῆς ἀνερχομένης ἐπὶ τὸν τροῦλον.

11. *Φθασάντων δὲ τῶν οἰκοδόμων εἰς τὰ δεύτερα ὑπερῷα καὶ ἐγειράντων τοὺς ἐπάνω κίονας καὶ τὰς καμάρας καὶ σκεπασάντων τὰ πέριξ, ἠθύμει ὁ βασιλεὺς διὰ τὸ μὴ ἔχειν χρυσίου ποσότητα. Ἱσταμένου οὖν αὐτοῦ εἰς τὰ ὑπερῷα τῶν κτισμάτων μέλλοντος ἐγεῖραι τὸν τροῦλον κατὰ ⟨ἕκ⟩την ὥραν τοῦ σαββάτου, ὡς ἤδη βαθέου ἀρίστου, ἀδημονοῦντος τοῦ βασιλέως, ἐφάνη αὐτῷ εὐνοῦχος λευκοφόρος εἰρηκὼς αὐτῷ· 'τί λυπῆσαι, δέσποτα, περὶ χρημάτων; πρόσταξον ἐξελθεῖν αὔριον ταχὺ ἐκ τῶν μεγιστάνων σου καὶ κομίσω σοι χρυσίου χάραγμα ὅσον ἂν βούλῃ.' Τῇ δὲ ἐπαύριον ἐλθὼν ὁ εὐνοῦχος*

1 *τοὺς κρείττονας κτλ.*| *πολλοὺς ὁσίους καὶ ἀρετὴν μετιόντας* K 6 *μετὰ καὶ τῆς βουλῆς* PV 7 sqq. Ad rem cf. Anton. Novgor. p. 91 (à la gauche du grand autel) 9 *τοῦ πινσοῦ* **πλησίον τοῦ συλλαγόνου** K; quid sit nescio. *τοῦ συλλογιαίου* Comb., architecturae terminum esse ratus 10 *τοῖς ἀνερχομένοις* Band. 11 *ὑπερῷα*| om. PV, *κατηχούμενα* K (... *κατηχούμενα καὶ τοὺς κίονας, ἀνηγέρθησαν αἱ καμάραι· σκεπασθέντων δὲ τῶν πέριξ ἐγένετο τὸν βασιλέα ἀθυμεῖν κτλ.* A_2B, sim. MA_1) 12 *Καὶ* ante *σκεπ.* om. RC 13 *σκεπάσαντες* PVR *τὰς πέριξ* E *μὴ ἔχειν κτλ.*| *ἐπλήρωσε τὸ βεστιάριν* Vind. 129 14 *χρυσικὴν ποσότητα* K *εἰς τὰ ὑπερῷα τῶν κτισμάτων*| **ἐν τῇ ἀψίδι ὑπερθεν καὶ** (om. A_1M) *ὁρῶν τὰ κτίσματα* K 15 *κατὰ τὴν ὥραν* omnes codd. praeter Voss. qui habet *κατὰ ϛ πάλιν ὥραν* 16 *ὡς*| *εἰς* R, *καὶ* E (*εἰς ἤδη βαθέως ἀρίστου ὥραν* Z) *βαθέος* C 18 *λυπῇ* DEZ 19 *χρυσίον* RD 20 *βούλει* RZB, *κελεύεις* PV, *ὀφείλῃς* C, *θέ-*

καὶ εὑρὼν τὸν βασιλέα ὅτι ἐπορεύετο ἐπὶ τὸ ὁρᾶν τὰ κτίσματα, δέδωκεν ὁ βασιλεὺς τόν τε Στρατήγιον καὶ Βασιλίδην τὸν κυαίστορα καὶ Θεόδωρον πατρίκιον τὸ ἐπίκλην Κολοκύνθην τὸν καὶ ἔπαρχον καὶ ὑπηρέτας μέχρι τῶν πεντήκοντα καὶ ἡμιόνους εἴκοσι μετὰ εἴκοσι βουλγιδίων ζυγῶν· τούτους λαβὼν ὁ εὐνοῦχος ἐξῆλθεν τῆς χρυσῆς πόρτης. Καὶ ἐλθόντες εἰς τὸ τριβουνάλιον ἐφάνησαν μὲν τοῖς ἀποσταλεῖσι παλάτια κτιστὰ θαυμαστά· ἐκ τῶν ἵππων δὲ καταβάντες ἀνεβίβασεν αὐτοὺς ὁ εὐνοῦχος εἰς κλίμακα θαυμαστήν· καὶ ἐκβαλὼν κλεῖδα λαμπρὰν χαλκῆν ἤνοιξεν κουβούκλιον· καὶ ὥς φησιν Στρατήγιος ὁ μάγιστρος, ἦν τὸ ἔδαφος ἐστρωμένον καὶ πεπληρωμένον χρυσίου χαράγματος. Καὶ λαβὼν πτύον ὁ εὐνοῦχος ἔβαλεν ἐφ᾽ ἕνα ἕκαστον βουλγίδιον κεντηνάρια χρυσοῦ τέσσαρα, ὁμοῦ κεντηνάρια ὀγδοήκοντα· καὶ δοὺς αὐτοῖς ἀπέστειλεν εἰς τὸν βασιλέα. Καὶ κλειδώσας ἔμπροσθεν αὐτῶν τὸ κουβούκλιον, ἐν ᾧ ἦν τὸ χάραγμα, ἔφη αὐτοῖς· ʽὑμεῖς κομίσατε ταῦτα τῷ βασιλεῖ εἰς τὸ κατακενῶσαι εἰς τὴν οἰκοδομὴν τοῦ ναοῦ.᾽ Ὁ δὲ εὐνοῦχος κατελείφθη ἐκεῖσε. Καὶ ἐλθόντες ἤγαγον τῷ βασιλεῖ τὸ χρυσίον, καὶ ἐκπλαγεὶς ὁ βασιλεὺς ἔφη αὐτοῖς· ʽἐν ποίῳ τόπῳ ἀπέλθατε καὶ τίς ἦν ὁ εὐνοῦχος;᾽ Καὶ ἀνήγγειλαν αὐτῷ πάντα τόν τε τό- Ba 72
πον τῶν οἰκημάτων αὐτοῦ καὶ ὅτι χρυσίον εἶχεν κεχυμένον ἐπὶ τὸ κουβούκλιον αὐτοῦ εἰς πλῆθος πολύ. Καραδοκῶν δὲ

λης AM ἐλθὼν κτλ.] ἰδοὺ καὶ ὁ φανεὶς τῷ βασιλεῖ εὐνοῦχος λέγων· δός μοι ἄνθρωπον καὶ πορευθῶμεν M, sim. AB
1 ἐπὶ τὸ om. VC, περὶ τὸ R 2 βασιλείδη P 3 κυέστωραν R τὸν ἐπίκλην V 4 καὶ ἔπαρχον τὸν κολοκύντην K (κολοκίνθην A_1, κολοκύνθην A_2) πεντήκοντα] ὀκτώ K
6 τούτους λαβὼν ὁ εὐνοῦχος (l. 6) post ἡμιόνους εἴκοσι posuit R χρυσίας PV πόρτας P 7 ἀποσταλῶσι PV 10 κλεῖδαν R 13 βουλγίδιον] σαμάριον B, σαγμάριν A, σαγμάριον M 14 τέσσαρα ὁμοῦ om. C, ὁμοῦ om. R κεντ. ὀγδοήκ.] λίτραι ἑκατὸν ἑξίκοντα R, λίτρας ξδ´ DE, λίτρας δ´ F 15 αὐτοὺς R, αὐτὰ E, αὐτῷ D πρὸς τὸν βασιλέα K, τῷ βασιλεῖ PV
20 ἀπήλθατε P, ἀπήλθετε DZ

ὁ βασιλεὺς τὸν εὐνοῦχον ἐλθεῖν εἰς αὐτὸν καὶ ὡς οὐ παρεγένετο, ἀπέστειλεν ὁ βασιλεὺς τὸν ἀκόλουθον αὐτοῦ εἰς τὸν εὐνοῦχον· καὶ εὑρὼν τὸν τόπον, ἐν ᾧ ἐθεάσατο τὰ παλάτια, ὅλον ἄοικον καὶ ὑποστρέψας ἐγνώρισεν τῷ βασιλεῖ πάντα. Ἐκπλαγεὶς δὲ καὶ γνοὺς εἶπεν ὅτι ‘ἀληθῶς τοῦτο τοῦ θεοῦ θαῦμα γέγονεν, ἵνα γνῶμεν’ καὶ μεγάλως ἐδόξασε τὸν θεόν.

12. Ἐν δὲ τῷ μέλλειν τὸ ἅγιον θυσιαστήριον τελειῶσαι καὶ διὰ τῶν στοῶν φωταγωγῆσαι τῶν διὰ τῶν ὑελίων ὄντων προςέταξε τὸν μηχανικόν, ἵνα γένηται ὁ μύαξ μονοκάμαρος· καὶ πάλιν μεταμεληθεὶς προςέταξεν γενέσθαι δίφωτον μετὰ δύο ἀψίδων διὰ τὸ μὴ δέξασθαι βάρος, ὅτι ἐκεῖσε κριώματα οὐκ ἔθεντο, ὥσπερ ἐν τῷ νάρθηκι καὶ ἐπὶ τὰς πλευρὰς τοῦ ναοῦ. Τῶν δὲ λοιπῶν τεχνιτῶν ἀντιλεγόντων, ὡς μία καμάρα φωτίζει τὸ θυσιαστήριον, καὶ ἀδημονοῦντος τοῦ πρωτοοικοδόμου τὸ τί ἂν ποιήσει, ὅτι ποτὲ μὲν λέγει ὁ βασιλεὺς μίαν ἀψίδα γενέσθαι, ἄλλοτε δὲ δύο, καὶ ἑστῶτος αὐτοῦ ἐκεῖσε καὶ ἀκηδιῶντος, ἡμέρᾳ δ΄ ὥρᾳ ε΄ ἐφάνη αὐτῷ ἄγγελος Κυρίου ἐν ὁμοιώματι Ἰουστινιανοῦ μετὰ βασιλικῆς ἐσθῆτος καὶ ἐρυθρῶν πεδίλων καί φησι τῷ τεχνίτῃ· ‘θέλω

---

6 *In fine huius capitis addit Chron. anni 1570 (v. Doroth. Monembas. p. 250 ed. 1818):* ἔξωθεν δὲ τοῦ ναοῦ καὶ ἔσωθεν ἦσαν κολώναις χιλίαις καὶ πσαμιᾶς κολώνας ἦτον τὸ κεφαλοκόλωνον καὶ τὸ ὑποπόδιον χρυσὸν ἐνθρονισμένον μετὰ λειψάνων 19 volo ut facias mihi altare [i. e. θυσιαστήριον] cum tribus porticibus et illumina illud per tres absides etc.

---

1 πρὸς αὐτὸν PV 3 ὁρῶν PV 5 τοῦτο om. R 6 γνῶ R, γνῶμεν πάντα PV 8 στοῶν] et στοαὶ et ἀψίδες (l. 11) et καμάραι (l. 9 et 14 et p. 91, 7) fenestrae dici videntur (διὰ ὑελίων) τῶν — ὄντων] τὸ δ. τ. ὑ. ὅτας R 9 γένετε R 10 δίφωτον κτλ.] δικάμαρον ἤτοι διὰ δύο ἀψίδων Z; δ ι ὰ. δύο ἀψ. etiam PVC 11 διὰ τὸ μὴ δέξασθαι βάρος τὸν τόπον μήπω ἐκεῖσε κριωμάτων γενομένων K ἰκριώματα DF 13 τεχνήτων R 15 πρώτου οἰκοδόμου R 19 ἐρυθριῶν PE in K angelus nil dicit nisi: τρεῖς καμάρας ἔγειρον διὰ τὸ ἐλαφρότερον (ἐλαφρόν MA_1)

ἵνα μοι ποιήσῃς τρίφωτον τὸν μύακα καὶ διὰ τριῶν στοῶν εἰς ὄνομα Πατρὸς καὶ Υἱοῦ καὶ Ἁγίου Πνεύματος.᾽ Παρευθὺ δὲ ἀφανὴς ἐγεγόνει καὶ καταπλαγεὶς ὁ μαΐστωρ παρεγένετο πρὸς τὸ παλάτιον καὶ ἀντέλεγε τῷ βασιλεῖ αὐστηρῶς ὅτι ʽσύ, βασιλεῦ, λόγον ἕνα οὐκ ἔχεις· μέχρι τῆς ἄρτι ἐβόας ποιεῖν με μίαν στοάν, ἄλλοτε δὲ δύο ἐν τῷ θυσιαστηρίῳ, καὶ ὅταν ἐτελείωσα τὸ ἔργον, παρέστης μοι λέγων ὅτι ἐν τρισὶ καμάραις φώτισον τὸ θυσιαστήριον διὰ τὴν τῆς Τριάδος πίστιν.᾽ Ὡς δὲ ἐγνώρισεν ὁ βασιλεὺς ὅτι τῇ αὐτῇ ἡμέρᾳ καὶ ὥρᾳ ἐκ τοῦ παλατίου αὐτοῦ οὐκ ἐξῆλθε, ἀκριβῶς ἐπέγνω ὅτι ʽἄγγελος κυρίου ἦν ὁ λαλήσας σοι, καὶ ὡς εἰπέν σοι, οὕτως καὶ ποίησον.᾽

13. Πάντες δὲ οἱ πινσοὶ ἔξωθεν καὶ ἔσωθεν ὑπὸ σιδηρῶν μοχλῶν κρατοῦνται ἐγχυλιασμένοι πρὸς τὸ ἀλλήλους κρατεῖν καὶ εἶναι ἀμετακινήτους. Ἡ δὲ ἔμπλασις αὐτῶν πάντων τῶν πινσῶν μετὰ ἐλαίου καὶ ἀσβέστου· καὶ οὕτως ἐπάνω ἀνέστησεν τὰς ποικίλας ὀρθομαρμαρώσεις.

14. Ἀπέστειλε δὲ ὁ βασιλεὺς Τρώϊλον κουβικουλάριον Ba 73

---

4 . . dixit regi: Austerus tu rex et unum verbum verum non habes 13 *haud paucis dicrepat K: Πάντες δὲ οἱ πινσοὶ* (*μοχλοὶ* A_2 B) *ὑπὸ σιδηρῶν κατέχονται μοχλίων ἐγχυλιασμένοι σὺν μολίβδῳ· ἔξωθεν* (*δὲ* add. A_2 B) *τῶν συνδέσμων* (*τοῦ* o. AB) *τοῦ ὅλου κτίσματος ἡ ἄσβεστος μετὰ ἐλαίου χριστοῦ ἐστιν ἐμπεπλασμένη* (*ἐπιπεπλ.* AB) *ἀντὶ ὕδατος διὰ τὸ ἑδραῖον καὶ πάγιον· οὕτως ἔστησαν καὶ τὰς ὀρθομαρμαρώσεις.*

---

1 *μοι*] *με* R, om. C 3 *ἐγένετο* PVD, *γέγονε* EF 4 *ἀντελέγετο* R *στερῶς* R, cf. Rad. *ἐσὺ βασιλεὺς* P 5 *οὐ στέργεις εἰς ἕνα λόγον* Voss. 7 *ὅτι τρεῖς καμάραι φωτίζουσι* (*—ουσαι* V) PV 12 Vind. 129 in fine addit *καὶ ἐποίησε κατὰ τὸν λόγον τοῦ ἀγγέλου θυρίδας τρεῖς* 14 *κρατοῦν* R *ἐγκεχυλιασμένοι* PV, *ἐγκεχειλιασμένοι* C (*ἐγγεχειλ.* D); an *ἐγχυλιασμένων?* cf. Const. Porphyr. Adm. p. 138, 8 *σιδήρων ἐν μολίβδῳ ἐγχυλιασμένων* 15 *εἶναι ἀμετακίνητοι* R, *εἰσιν ἀμετακίνητοι* C, *εἶναι ἀμετακινήτους* PV 17 *ἀνέστησαν* PVC 18 *σπαθοκουβουλάριον* Vind. 129

καὶ Θεόδωρον ἔπαρχον καὶ Βασιλίδην κυαίστορα ἐν τῇ Ῥόδῳ νήσῳ καὶ ἔκαμνον ἐκεῖ μετὰ τῆς πηλοῦ βήσαλα ἰσόσταθμα καὶ ἰσόμηκα παμμεγέθη σφραγίζοντα οὕτως· ‘ὁ θεὸς ἐν μέσῳ αὐτῆς καὶ οὐ σαλευθήσεται· βοηθήσει αὐτῇ ὁ θεὸς τὸ πρὸς πρωῒ πρωΐ.’ Καὶ διαμετροῦντες αὐτῶν τὴν ποσότητα ἀπέστελλον τῷ βασιλεῖ. Ὁ δὲ σταθμὸς τῶν δώδεκα βησάλων ἐκείνων ἡμετέρων βησάλων ἐστὶ σταθμὸς ἑνὸς διὰ τὸ εἶναι τὴν πηλὸν ἐκείνην ἐλαφρὰν πάνυ καὶ σπογγοειδῆ καὶ κοῦφον καὶ λευκόχροιον. Διὸ ὁ λόγος ἰδιωτικὸς ἐμφέρεται ὅτι κισσηρίου ἐστὶν ὁ τροῦλος· ἀλλ’ οὐκ ἔστιν μέν, ἐλαφρὸν δὲ ὑπάρχει. Μετ’ αὐτῶν δὲ ἀνοικοδομήσαντες τὰς τέσσαρας μεγίστας ἀψίδας καὶ ἀρξάμενοι κυλίειν τὸν τροῦλον ἕως δώδεκα βησάλων ἐτίθουν καὶ ἀναμεταξὺ τῶν δώδεκα βησάλων ἐποίουν οἱ ἱερεῖς εὐχὴν περὶ συστάσεως ἐκκλησίας· καὶ ἐποίουν οἱ κτίσται κατὰ δώδεκα βήσαλα ὀπήν, ἐμβάλλοντες ταῖς ὀπαῖς τίμια καὶ ἅγια λείψανα διαφόρων ἁγίων, ἕως οὗ ἐτελείωσαν τὸν τροῦλον· ἦν δὲ νεωτερικὸς ὄρθιος ἱστάμενος.

15. Καὶ εἶθ’ οὕτως πληρώσαντες τὰς τερπνὰς καὶ περι-

---

1 ἔπαρχον| πατρίκιον C βασιλίδη PV (βασίλειον D) κυαίστωραν RP 2 ἔκαμον PVC 3 παμμεγεθὴς σφραγίζεται R 4 αὐτῆς| αὐτῶν M 6 δώδεκα| πέντε K 8 φλογοειδῆ C, πυρροειδῆ Voss. 9 Locus in omn. fere codd. corruptus: διὸ ὁ (καὶ C) λόγος ἱστορικὸς ἐμφέρεται RC (ὥστε καὶ λόγος ἱστορ. ᾄδεται Voss.), διολίγω φαίνεται ἰδιωτικῶς PV; genuinam lectionem ostendunt διὸ καὶ ἐμφέρεται ἰδιωτικὸς λόγος Z et ἐξ οὗ παρὰ τῶν ἰδιωτῶν φέρεται λόγος K 10 κησιρίον R, κισσήριον ZVoss. 11 ὑπάρχει sc. τὸ βήσαλον μετ’ αὐτῶν| μετὰ ταῦτα PV ἀνοικοδομήσας R, ἀνωκοδόμησαν PV 12 τροῦλον δώδ. βήσαλα C 14 ἐποίησε δὲ ὁ ἱερεὺς K 15 ὀπὰς AB (τρύπας M) 17 ἐτελείωσεν R ὁ νεωτερικὸς codd. praeter K ὄρθριος R 18 Inde usque ad c. 27 K verba scriptoris in brevius coegit. C. 15: εἶθ’ οὕτως ἐμουσείωσαν καὶ ὠρθομαρμάρωσαν αὐτὸν εἰς πάντα· καὶ εἰς τοὺς πινσοὺς καὶ τὰς στοὰς καὶ εἰς τὰ μεγάλα κιόνια λείψανα ἔβαλον ἁγίων ἐπισήμων (v. infra p. 99, 6). Τὸν δὲ πάτον διὰ ποικίλων καὶ πολυτελῶν μαρμάρων κατέστρωσεν διὰ Πηγανουσίων καὶ Ῥωμαίων καὶ ῥοδοποικίλων καὶ βαθυγκηνῶν (βαθαυκινῶν A_1, om.

καλλεῖς ὀρθομαρμαρώσεις, κατεχρύσωσε τάς τε ζεύξεις τῶν ὀρθομαρμαρώσεων καὶ τὰς κεφαλὰς τῶν κιονίων καὶ τὰ λακαρικὰ καὶ τοὺς κοσμήτας τῶν ὑπερῴων τῶν τε διορόφων καὶ τριορόφων. Ἐχρύσωσε δὲ πάντα ἐκ χρυσίου καθαροῦ ὑπερτελείου, τὸ σύμ⟨παν⟩ πάχος τοῦ χρυσώματος δακτύλων δύο· τοὺς δὲ ὀρόφους πάντας ἀπό τε τῶν ὑπερῴων καὶ τῶν ἐκ πλαγίου καὶ τοῦ ναοῦ καὶ τῶν πέριξ καὶ τῶν τεσσάρων ναρθήκων κατεχρύσωσε [τὰ ὄροφα] ἐξ ὑελίνου χρυσοῦ λαμπροτάτου καὶ μέχρι τῶν πέριξ προαυλίων [κατεχρύσωσε τά τε ὑπερῷα καὶ τοὺς κίονας καὶ τὰς ὀρθομαρμαρώσεις]. Τὸ δὲ ἔδαφος τοῦ ναοῦ κατεκόσμησε διὰ ποικίλων καὶ πολυτελῶν μαρμάρων· καὶ στιλπνώσας κατέθηκε καταστρώσας αὐτά· τὰ δὲ πλάγια τὰ ἔξω καὶ τὰ πέριξ κατέστρωσε διὰ λευκῶν λίθων πολυτίμων μεγίστων.

---

6 Omnes autem cameras et tecta superiorum sursum et deorsum et quae sunt in circuitu atrii deauravit omnia aureo vitro candidato

---

A, B) καὶ λοιπῶν. Ex eadem paragrapho (p. 93, 2) inferiore loco (v. infra p. 102, 9) decerpsit K haec: ἐς τῆς χρυσοθέου θέας τῶν κοσμήτων καὶ λαγαρικῶν καὶ τῶν κεφαλοκιόνων πάντων
1 μαρμαρώσεις R κατεχρύσωσαν PV 2 ὀρθομαρμαρώσει R, ὀρθομαρμάρων rell., correxi καὶ τὰς κεφ. τῶν κιονίων om. R λακαρικὰ] λαγαρικῶν K (v. supra), ἐγγλύμματα PV; λακαρικά (laquearia) etiam ap. Theophan. contin. 140, 13, Const. Rhod. 725 5 ὑπὲρ ἡλίου R, τελείου C, πετάλου PV, om. Z (χρυσάφην δὲ μάλαγμα πρῶτον Vind. 129); corrigebam τὸ σύμπαχον PVC, τὸ σύμπασχον Z, τὸ σύμπαχος Voss., τὸ σύνταχον R, τὸ δὲ πάχος Vind. 129; corrigebam 6 post ὑπερῴων inserunt τῶν διορόφων PV, καὶ διορόφων καὶ τριορόφων Vind. 129, τῶν τριορόφων Z 7 τῶν ἐκπλαγίων RVD, τῶν πλαγίων Vind. 129, τῶν ἐπιπλάγων EF, τῶν ἐπιπλαγίων ZVoss. καὶ τοῦ ναοῦ om. C 8 τὰ ὄροφα seclusi, τά τε ὄροφα C λαμπρότατα codd., corr. ex Radulfo 9 πέριξ] ἐκτὸς Voss. κατεχρ.] ὡσαύτως ἐχρύσωσε C κατεχρύσωσε — 10 ὀρθομαρμαρώσεις seclusi; desunt eadem in Voss. et Vind. 129 τά τε πέριξ ὑπερῷα V 12 στιλβώσας PVC κατεστρώσας αὐτῶν R 13 τὰ δὲ πλάγια καὶ τὰ ἔξω RCZ διὰ λευκοὺς λίθους πολυτίμων μεγίστων R

Ba 74 **16.** *Τὸ δὲ ἅγιον θυσιαστήριον ἐξ ἀργύρου λαμπροῦ· | τά τε στήθεα καὶ κίονας ἀργύρῳ πάντα περιέκλεισε σὺν τοῖς πυλεῶσιν αὐτῶν, πάντα ἀργυρᾶ καὶ χρυσέμβαφα. Τραπέζας δὲ ἀργυρᾶς τέσσαρας τῷ ἁγίῳ θυσιαστηρίῳ ἔστησεν ἐπὶ τοὺς κίονας καὶ αὐτοὺς κατεχρύσωσε. Τὰς δὲ βάσεις τὰς ἑπτὰ τῶν ἱερέων ἐν αἷς καθέζονται, σὺν τοῦ ἀρχιερέως θρόνου καὶ τῶν τεσσάρων κιόνων τῶν ἀργυρέων κατεχρύσωσε, στήσας ἑκατέρῳ μέρει ἀνὰ δύο ἐν τῷ εἰςπορεύεσθαι ἐν τῷ εἰλήματι τῷ καλουμένῳ κυκλίῳ, ὅπερ ἐστὶν ὑποκάτω τῶν βαθμίδων· τοῦτο ἅγια ἁγίων προσηγόρευσε. Ἔστησε δὲ κίονας εὐμεγέθεις καὶ αὐτοὺς ἀργυροχρύσους σὺν τοῦ κιβουρίου καὶ τῶν κρίνων. Τὸ δὲ κιβούριον ἀργυροέγκαυστον ἐποίησεν. Ἐπάνω δὲ τοῦ κιβουρίου ἔστησε σφαῖραν ὁλόχρυσον ἔχουσαν σταθμὸν χρυσοῦ λίτρας ριη´ καὶ κρίνα χρυσᾶ στήσαντα λίτρας ϛ´· καὶ ἐπάνω αὐτῶν σταυρὸν χρυσοῦν μετὰ λίθων πολυτελῶν καὶ δυσπορίστων, ὅστις σταυρὸς εἷλκε σταθμὸν χρυσίου λίτρας ο´.*

17. *Ἐποίησε δὲ μηχανὴν τοιαύτην· βουλόμενος γὰρ*

---

1 *λαμπροτάτου στήθεα* PV 2 *κίονας εὐμεγέθους* PV *περιέλησε* R (corruptum ex *περιείλησε* ?), *περιεκύκλωσε* C *ταῖς πυλεῶσιν* RP, *τοῖς πυλῶσι* C 3 *καὶ τραπέζας* Voss. 4 *δὲ* om. RC *ἀργυρᾶς* om. PV *καὶ τὸ ἅ. θυσιαστήριον* C 5 *αὐτοὺς*] *αὐτὰς* Z *ἑπτὰ βάσεις ὅπου καθέζονται οἱ ἱερεῖς εἰς τὸ σύνθρονον* Vind. 129 6 *σὺν τῷ . . . θρόνῳ καὶ τῶν κτλ.* RC 6—8 *σὺν τῷ τοῦ ἀρχ. θρόνῳ καὶ τοῖς τέσσαρσι κίοσι τοῖς ἀνὰ ἑκάτερον μέρος τῶν βαθμίδων* . . . . . (lacuna) *τὸ καὶ κύκλιον καλούμενον ἅγια ἁγίων προςηγόρευσεν* Z 7 *τῶν ἀργυρέων* om. PV ante *κατεχρύσωσε* inserunt *ὧν* PVR 8 *ἑκάτερα μέρη* R Voss. *ἀνὰ δυῶν* P, *ἀναδύων* V, *β´* Voss. *ἐν τῷ εἰςπορεύεσθαι*] solus Voss., *καὶ εἰςπορεύεσθαι* rell. 10 *εὐμεγέθους* PV 11 *σὺν τῷ κιβωρίῳ καὶ τοῖς κρίνοις* C *κιβωρίου* V (cf. C) 12 et 13 *κιβώριον* VC 13 *σφαῖραν*] *μῆλον* K 14 *χρυσοῦ* om. PV *λίτρας* om. C Vind. 129 *ριη´*] *κεντηνάρια ιη´* C Vind. 129 (corruptum ex *ρ´´ ιη´*) *χρυσᾶ* om. RC *λίτρας*] *κεντηνάρια* R; C habet *στήσαντα ρις´*, id quod est corruptum ex *ρ´´ρ´´* (i. e. *κεντηνάρια*) *ϛ´* 15 *χρυσέον* R 16 *χρυσίου* om. PV *λίτρας οε´* C (*λιτρῶν ο´* PV)

κρείττονα τὴν ἁγίαν τράπεζαν καὶ πολυτελεστέραν ποιῆσαι ὑπὲρ χρυσίου προσεκαλέσατο ἐπιστήμονας πολλοὺς εἰρηκὼς αὐτοῖς τοῦτο. Οἱ δὲ ἔφησαν αὐτῷ· 'εἰς χωνευτήριον ἐμβάλωμεν χρυσόν, ἄργυρον, λίθους τιμίους καὶ παντοίους καὶ μαργαρίτας καὶ ζάμβυκας, χαλκόν, ἤλεκτρον, μόλιβδον, σίδηρον, κασσίτερον, ὕελον καὶ λοιπὴν πᾶσαν μεταλλικὴν ὕλην·' καὶ τρίψαντες ἀμφότερα αὐτῶν εἰς ὅλμους καὶ δήσαντες, ἐπὶ τὸ χωνευτήριον ἔχυσαν. Καὶ ἀναμαξάμενον τὸ πῦρ, ἀνέλαβον ταῦτα οἱ τεχνῖται ἐκ τοῦ πυρὸς καὶ ἔχυσαν εἰς τύπον· καὶ ἐγένετο χυτὴ πάμμιγος ἡ ἁγία τράπεζα ἀτίμητος· καὶ εἶθ' οὕτως ἔστησεν αὐτήν· ὑποκάτω δὲ αὐτῆς ἔστησε κίονας καὶ αὐτοὺς ὁλοχρύσους μετὰ λίθων πολυτελῶν καὶ χυμεύσεων, καὶ τὴν πέριξ κλίμακα, ἐν ᾗ ἵστανται οἱ ἱερεῖς εἰς τὸ ἀσπάσασθαι τὴν ἁγίαν τράπεζαν, καὶ αὐτὴν ὁλοάργυρον. Τὴν δὲ θάλασσαν τῆς ἁγίας τραπέζης ἐξ ἀτιμήτων λίθων πεποίηκε καὶ κατεχρύσωσεν αὐτήν. Τίς γὰρ θεάσηται τὸ εἶδος τῆς

8 Et sufflavit ignis et congregantur omnia in se intus et tulerunt artifices haec de igne etc. 10 *Chron. anni 1570 (Dor. p. 251) addit: ὁ δὲ βασιλεὺς καὶ ὁ ἀρχιτέκτων ἔβλεπαν τὸν ἄγγελον ὁποῦ τὰ ἐπαράστεκε καὶ ἔκαμνε τὴν ὑπηρεσίαν εἰς αὐτὰ ἤγουν τὰ ἀνάδευε μέσα εἰς τὸ χωνευτήριον* 11 *καὶ ἔβαλεν αὐτὴν ἀπάνω εἰς δώδεκα (δέκα* Par. 1790) *κιόνια ἀργυρᾶ καὶ τὴν ἐνθρονίασε καὶ τὴν ἐστερέωσε δυνατὰ μετὰ λειψάνων μαρτύρων.* Subtus autem mensam statuit IX columpnas aureas cum margaritis et variis lapidibus. Pavimentum autem quod est

1 *πολυτελεστέραν* solus Z, *πολυτελεστάτην* RC, *πολυτελῆ* PV 2 *ὑπερχρυσίς* R, *ὑπερχρυσῆν* C, *χρυσῆν* Z 4 *παντοίους*| *πολυτελοῦς* R 5 *ζάμπικας* C; ad vocem cf. Cedren. I 623, 10 et Constant. Rhod. 669 (*ζάμβακας*) et infra p. 105, 20 6 *κασίτηρον* R *καὶ πᾶσαν ὕλην τετριμμένην· καὶ καταμίξαντες ἀμφότερα καὶ χωνεύσαντες ἔχυσαν ἀβάκιον* AB (similiter M) 7 *ἀμφότερα αὐτῶν*| *αὐτὰ ἀμφότερα* C 8 *ἀναμαξάμενον τὸ πῦρ* PRF (postquam ignis materiam miscuit), *ἀναμαξαμένου* (*αὐτὰ* add. Z) *τοῦ πυρὸς* Z Voss., *ἀναμαξάμενοι τὸ πῦρ* VDE 9 *τυπάρια* EF, *τυπάριν* D 10 *πάμμιξος* R, *παμμιγὴς* CZ Vind. 129 16 *θεάσεται* F

ἁγίας τραπέζης καὶ οὐκ ἐκπλαγείη; ἢ τίς δυνήσηται κατανοῆσαι ταύτην διὰ τὸ πολλὰς χροιὰς καὶ στιλπνότητας ἐναλλάσσειν, ὡς ὁρᾶσθαι τὸ ταύτης εἶδός ποτε μὲν χρυσίζον, ἐν ἄλλῳ δὲ τόπῳ ἀργυρίζον, εἰς ἄλλο σαμφειρίζον, ἐξαστράπτον καὶ ἁπλῶς εἰπεῖν ἀποστέλλον οβ΄ χροιὰς κατὰ τὰς φύσεις τῶν τε λίθων καὶ μαργαριτῶν καὶ πάντων τῶν μετάλλων;

18. Ἐποίησε δὲ καὶ πυλεῶνας, κάτωθεν καὶ ἄνωθεν [ἐξ ἐλεφαντίνων μεγάλων γλυπτῶν κεχρυσωμένων] τὸν ἀριθμὸν τξε΄. Ἐν δὲ τῇ εἰςόδῳ τῇ πρώτῃ τοῦ λουτῆρος | ἐποίησε πυλεῶνας ἠλέκτρους καὶ ἐν τῷ νάρθηκι ἠλέκτρους πύλας ἐμμέτρους. Ἐν δὲ τῷ δευτέρῳ νάρθηκι ἐποίησεν ἐλεφαντίνους πύλας ⟨. . . . .⟩ καὶ πυλεῶνας τρεῖς, δύο ἐμμέτρους καὶ

Ba 75

subtus IX columpnas est totum argenteum; gradum autem etc. 6 *Chron. anni 1570 addit:* ἔγραψε δὲ ὁ βασιλεὺς γύρωθεν τῆς ἁγίας τραπέζης ταῦτα· 'τὰ σὰ ἐκ τῶν σῶν σοι προσφέρομεν οἱ δοῦλοί σου κτλ. . . . πρεσβείαις τῆς ἁγίας θεοτόκου καὶ ἀειπαρθένου Μαρίας.' *Quae inscriptio exstat etiam in Vind. 94, Sinait. 1189; v. Cedren I 677 Bonn. (CIGr 8643). Item Radulfus:* Posuit ergo in sancta mensa in circuitu labia aurea cum margaritis et lapidibus et sunt subscripta sic: 'Tua de Tuis tibi offerimus, Domine, Iustinianus et Theodora' 7 Fecit autem ianuas numero CCCLXV sursum deorsum (iusum *Stubbs, correxi*); in exteriora atria et in circuitu (introitu?) et in claustro fecit ianuas aereas magnas. In capitulis autem fecit ianuas eburneas sculptas, deauratas, tres in dextera parte templi et tres in sinistra. In medio autem earum statuit ianuas tres maiores valde argenteas auro textas et misit intus in eas pro vilibus lignis ligna de archa Noae.

4 σαπφειρίζον V 5 ἀποστέλλει F, ἀποπέμπει R, ἀποτελοῦν Z Voss., ἀποστέλλειν rell., corrigebam οβ΄ χροιὰς | τὰς ἁπάσας χροιὰς Z, ὀλβίην χροιὰν C 6 μαργάρων EF, μαρμάρων D καὶ πάντων τῶν om. R 7 C. 18 deest in K Ἐποίησε—γλυπτῶν bis scripserunt RC πυλῶνας codd. 8 ἐξ ἐλεφαντ.—κεχρυσ. seclusi; κάτωθεν—κεχρυσ. desunt etiam in Z ἐξ ἐλεφάντων μεγάλων R priore loco, ἐξ ἐλεφαντίνων γλυπτῶν posteriore R et PV, δι' ἐλεφαντίνων μεγάλων ὀστῶν γλυπτῶν C 10 ἐν τῷ πρώτῳ νάρθηκι Z 11 εὐμέτρους PVR 12 lacunam indicavi; an πύλας ⟨τρεῖς κατὰ τὸ ἀριστερὸν

μέσον τῶν δύο μεγίστην ἀργυρέαν χρυσέμβαφον, τὰς πάσας πύλας καταχρυσώσας· ἔσωθεν δὲ τῶν τριῶν πυλῶν ἀντὶ ξύλων κοινῶν ἔβαλεν ἐκ τῶν τῆς κιβωτοῦ ξύλων.

19. Βουλόμενος δὲ καὶ τὸν πάτον ὁλοάργυρον ποιῆσαι, οὐ συνεβούλευσαν αὐτῷ διὰ τὸ εἰς τὰ ἔσχατα πένητας ἁρπάσαι αὐτά. Οἵ δὲ αὐτὸν ἀναπείσαντες ἦσαν Ἀθηναῖοι φιλόσοφοι καὶ ἀστρολόγοι, Μαξιμιανὸς καὶ Ἱερόθεος καὶ Σύμβουλος, λέγοντες ὅτι ἐν ταῖς ἐσχάταις ἡμέραις βασιλεῖαι ἀμυδραὶ ἐλεύσονται καὶ ταῦτα ἀφέλωνται· καὶ ἐκ τῆς βουλῆς αὐτῶν ἴασε τοῦτο.

20. Καθ' ἑκάστην δὲ ἡμέραν ἔβαλλεν ὁ βασιλεὺς εἰς τὸν χοῦν χιλιάδας δύο μιλιαρίσια· καὶ ὅτε ἐπλήρουν τὸ ἔργον οἱ τεχνῖται τῇ ἑσπέρᾳ, ἐσκύλευον τὸν χοῦν καὶ εὕρισκον τὰ μιλιαρίσια. Τοῦτο δὲ εἰς χαρὰν τοῦ λαοῦ ὁ βασιλεὺς ἐποίησε καὶ εἰς προθυμίαν. — Καὶ ἡ μὲν ὕλη ἀπεσωρεύθη, καθὼς προεῖπον, εἰς χρόνους ἑπτὰ ἥμισυ καὶ ἀπετέθη. Ὁ δὲ ναὸς ἐκτίζετο καὶ ἐτελειώθη παρὰ τῶν προειρημένων ἀνδρῶν δέκα χιλιάδων μετὰ ἐπιμελείας καὶ πολλῆς σπουδῆς εἰς χρόνους ἐννέα παρὰ μῆνας δύο, ὁμοῦ χρόνοι ις´ καὶ μῆνες δ´.

μέρος καὶ τρεῖς κατὰ τὸ δεξιόν· μέσον δὲ αὐτῶν ἔστησε⟩ καὶ πυλεῶνας τρεῖς κτλ.? Cf. Radulfum εὐμέτρους PVR 1 μεγίστην om. R ἀργυρὴν PV, ἀργυρᾶν C; exspectamus μέγιστον ἀργυροῦν πάσας πύλας] παραπύλας αὐτῆς PV 2 an τῶν τριῶν μεγάλων πυλῶν? 3 καινῶν PV cf. Rad. 4 ὁλόχρυσον C 5 ἁρπάζειν PV 7 ἀστρονόμοι PV μαξιμῖνος MZ Vind. 129 μαξιμιανὸς ἱερόθεος RF καὶ σύμβουλος om. PV, ὁ καὶ σύμβουλος B, καὶ σύμβολος FAM (συμβουλεύοντες E, nomina omisit D) 8 βασιλειῶν αἱ ἀμυδραὶ R, αἱ μὲν βασίλειαι ἀμυδραὶ C 9 post ἐκδαφιοῦσι (= ἀφέλωνται) addit K: εἰ δέ εἰσι λίθοι, συνίστασθαι ἔχει ὁ ναὸς ἕως τῆς συντελείας τοῦ κόσμου αὐτῶν] αὐτῆς R 11—14 In K haec bis narrantur, et hic et in iis quae dedi ad c. 9 δὲ om. R 12 δύο ἥμισυ χιλιάδας ἀργύρια K post μιλιαρίσια addunt καὶ ἐμίγνυον εἰς τὸν χοῦν PVZ 15 ἐπενόησε RZ 16 ἀπετίθη R 19 παρὰ μηνῶν δύο R,

21. Τὸν δὲ ἄμβωνα ἐποίησε σὺν τῆς σωλέας μετὰ σαρδονύχων, ἐντιθέμενος καὶ πολυτίμους λίθους σὺν κιόνων ὁλοχρύσων καὶ κρύων καὶ ἰασπίων καὶ σαμφείρων· καὶ χρυσίον πολὺ ἐνέδυσε τὰ ἐπάνω τῆς σωλέας. Εἶχε δὲ τροῦλον χρυσοῦν μετὰ μαργαριταρίων καὶ λυχνιταρίων καὶ σμαράγδων. Ὁ δὲ σταυρὸς τοῦ ἄμβωνος ἔστενε χρυσοῦ λίτρας ρ΄· εἶχε δὲ καὶ σειστὰ καὶ λυχνίτας σὺν μαργαριταρίων ἀπιδωτῶν· ὁλόχρυσα δὲ πετάσια ἀντὶ στηθέων εἶχεν ἄνω ὁ ἄμβων.

22. Τὸ δὲ στομίδιον αὐτὸ τοῦ φρέατος ἤχθη ἀπὸ Σαμαρείας· τούτου χάριν ἐκλήθη ἅγιον φρέαρ, ὅτι ἐν αὐτῷ ὡμίλησε τῇ Σαμαρίτιδι ὁ Χριστός. Αἱ δὲ τέσσαρες σάλπιγγες αἱ χαλκαῖ, ἃς ἔστησεν ἐν τῷ φρέατι τῷ ἁγίῳ, ἀπὸ Ἱεριχὼ ἐκόμισεν αὐτάς, ἃς εἶχον τότε οἱ ἄγγελοι † εἰς μίμησιν, ὅτε ἔπεσον τὰ τείχη Ἱεριχώ. Ὁ δὲ τίμιος σταυρὸς ὁ ἱστάμενος σήμερον ἐν τῷ σκευοφυλακείῳ τὸ μέτρον ἐστὶ τῆς ἡλικίας

παρὰ μῆνας η΄ EF, παρὰ μῆνας τρεῖς Vind. 129, καὶ μῆνας δύο PV, καὶ μῆνας δ΄ DK, correxi ex Z ὡς ὁμοῦ χρόνους V, ὡς ὁμοῦ χρόνοι P, ὡς εἶναι τοὺς πάντας χρόνους C καὶ μῆνας η΄ PV, om. C, ἥμισυ Voss. p. 97, 20 Hoc loco addit K πολλοὶ δὲ τῶν χρονογράφων λέγουσιν εἰς ιζ΄ ἔτη κτισθῆναι δηλονότι καταριθμοῦντες τοὺς ἑπτὰ χρόνους οὓς συνήγετο ἡ ὕλη 1 σὺν τῇ σωλέᾳ C 2 ἀντιθέμενος codd.: corrigebam 3 ἰασπίων] ἀσπίνων PV σαπφείρων V χρυσίον χυμευτοῦ K 5 χρυσὸν R καὶ λυχνιτ. καὶ σμαράγδων om. RC 7 κατὰ σειστὰ CZ, μετὰ κατασείστων Voss., καὶ σειζὰς Swainson p. 139; sed cf. indicem s. v. σειστόν καὶ ante λυχν. om. RC (συστὰ λυχνιτάρια Vind. 129) σὺν μαργαριταρίοις ἀπιδωτοῖς C 8 ἀντὶ] ἐπὶ Swainson 9 τὸ δὲ στόμιον τὸ λίθινον K αὐτὸ] αὐτοῦ C, om. PV ἀπὸ σαμαρείαν R 10 τούτου γὰρ χάριν PV 11 σάλπιγγαι PV 12 ἀπὸ Ἱεριχοῦ αἱ ἠχήσασαι καὶ τὰ τείχη πεσόντα (ἔπεσον A_1) AM 13 ⟨ἐκείνων⟩ ἃς εἶχον? ἄγγελοι] ἱερεῖς Vind. 129 εἰς μίμησιν om. K Vind. 129, κατὰ μίμησιν Voss.

14 Post Ἱεριχώ inserit K: ἡ δὲ σέλλα τοῦ ἁ. Κωνσταντίνου ὕπερθεν ἵστατο τοῦ ἁγίου φρέατος ἐπάνω τῶν σαλπίγγων. Cf. Vatic. 1701 ad p. 103, 4 De cruce Christi cf. Dobschütz Christusbilder p. 299**, Anton. Novg. p. 88

15 σήμερον om. RCZ ἐν τῷ σκευοφυλ. om. C

τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· ὃς ἀκριβῶς ἐμετρήθη παρὰ πιστῶν καὶ ἀξιολόγων ἀνδρῶν ἐν Ἱερουσαλήμ. Καὶ διὰ τοῦτο ἐνέδυσεν αὐτὸν ἄργυρον καὶ λίθους παντοίους καὶ κατεχρύσωσεν αὐτόν· καὶ μέχρι τῆς σήμερον ἰάσεις ποιεῖ νοσημάτων καὶ δαίμονας ἐλαύνει. Ἐν δὲ | ἕκαστον Ba 76
κιόνιον τῶν ἄνω καὶ τῶν κάτω ἅγιον λείψανον ἔχει ἐνθρονιασμένον.

23. Ἐποίησε δὲ καὶ σκεύη ὁλόχρυσα, τῶν δώδεκα ἑορτῶν ἄλλα καὶ ἄλλα, ἀπό τε εὐαγγελίων ἱερῶν, χερνιβοξέστων, ὀρκιολίων, δισκοποτηρίων, δίσκων· ἐποίησε δὲ πάντα ὁλόχρυσα διὰ λίθων καὶ μαργάρων· ὁ δὲ ἀριθμὸς τῶν ἱερῶν

5 Tota enim ecclesia S. Sophiae constructa est cum reliquiis multorum et diversorum Sanctorum (cf. p. 92, 15)
8 *Chron. anni 1570 (cod. Paris. 1790); quocum consentit cod. Vindob. hist. gr. 94:* Ἔκαμε δὲ ὁ βασιλεὺς ἱερὰ σκεύη τῶν ιβ΄ ἑορτῶν χωρὶς τῶν καθημερινῶν καὶ ἄλλα πολύτιμα χερνόξεστα καὶ ποτήρια καὶ λαβίδας (καὶ σφουγγήτας καὶ ἁπλῶς εἰπεῖν *add. Vind.*) διὰ χρυσίου ἢ λίθων πολυτελῶν· ὑπῆρχε δὲ ὁ ἀριθμὸς τῶν ἱερῶν σκευῶν χίλια καὶ ἕνα· καὶ στέμματα ἤγουν τέμπλα τῶν ιβ΄ ἑορτῶν ἀνὰ ιβ΄, ὁμοῦ φορέματα τῶν ἱερέων ρμδ΄· σοληνίτας (σωληνωτὰς *Vind.*) τ΄, ποτηροκαλύμματα καὶ ἀέρας χρυσοϋφάντους διὰ λίθων καὶ μαργάρων χιλιάδας γ΄, εὐαγγέλια χρυσόγραφα ἐγκοσμημένα μετὰ λίθων καὶ μαργάρων κδ΄ τιμῆς χρυσαφίου λιτρῶν ιε΄· θυμιατήρια χρυσὰ καὶ ἀργυρὰ τ΄ καὶ λυχνίτας (λυχνίας *Vind.*) χρυσὰς ἀνὰ λιτρῶν εἴκοσι τ΄· τὰ δὲ πολυκάνδηλα καὶ βαστάγια (βοστρίδες *Vind.*) τοῦ ὅλου ναοῦ χιλιάδας γ΄ (λ΄ *Vind.*) ἐξ ἀσημείου καθαροῦ χρυσωμένα

2—7 om. K 3 ἄργυρον—4 αὐτὸν om. R (homoiotel.) ἀργύρω καὶ λίθοις Z 5 καὶ νοσήματα PVC 5—7 haec tradit K in c. 15; v. adn. δὲ om. DF, γὰρ E; ἐν παντὶ δὲ κίονι τῶν ἄνω καὶ τῶν κάτω ἓν ἕκαστον (ἓν ἕκ. om. Z) ἅγιον λείψ. κτλ. PVRZ 8 τῶν δώδεκα—11 ὁλόχρ. om. R (homoiotel.)
9 post ἑορτῶν inserunt Voss. et Vind. 129 παρηλλαγμένα ἀλλοῖα καὶ ἀλλοῖα C ἀπὸ] initium faciens ab . . εὐαγγελίων] ἀγγείων? evangelia enim p. 100, 4 memorantur 11 ὁ δὲ om. PVC ὁ δὲ ἀριθμὸς ἑνὸς ἑκάστου τῶν σκευῶν εἴδους ἔστιν ἀνὰ χιλίων Z

